# ΑΙΣΧΥΛΟΥ ΙΚΕΤΙΔΕΣ

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΧΟΡΟΣ ΔΑΝΑΙΔΩΝ
ΔΑΝΑΟΣ
ΠΕΛΑΣΓΟΣ, βασιλεὺς Ἀργείων
ΧΟΡΟΣ ΑΙΓΥΠΤΙΩΝ
ΚΗΡΥΞ
ΧΟΡΟΣ ΑΡΓΕΙΩΝ

ΧΟΡΟΣ

Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως
στόλον ἡμέτερον νάϊον ἀρθέντ'
ἀπὸ προστομίων λεπτοψαμάθων
Νείλου· Δίαν δὲ λιποῦσαι
χθόνα σύγχορτον Συρίαι φεύγομεν
οὔτιν' ἐφ' αἵματι δημηλασίαν
ψήφωι πόλεως γνωσθεῖσαι,
ἀλλ' αὐτογενῆ φυξανορίαν,
γάμον Αἰγύπτου παίδων ἀσεβῆ τ'
ὀνοταζόμεναι < ⏑ ⏑ – – >.
Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος
καὶ στασίαρχος τάδε πεσσονομῶν
κύδιστ' ἀχέων ἐπέκρανεν,
φεύγειν ἀνέδην διὰ κῦμ' ἅλιον,
κέλσαι δ' Ἄργους γαῖαν, ὅθεν δὴ
γένος ἡμέτερον, τῆς οἰστροδόνου
βοὸς ἐξ ἐπαφῆς κἀξ ἐπιπνοίας
Διὸς εὐχόμενον, τετέλεσται.
τίν' ἂν οὖν χώραν εὔφρονα μᾶλλον
τῆσδ' ἀφικοίμεθα
σὺν τοῖσδ' ἱκετῶν ἐγχειριδίοις,
ἐριοστέπτοισι κλάδοισιν;
< >
ὧν πόλις, ὧν γῆ καὶ λευκὸν ὕδωρ,
ὕπατοί τε θεοὶ καὶ βαθυτίμους
χθόνιοι θήκας κατέχοντες

2 ἀρθέντ' Turnebus: ἀρόεντ' M (-τα M$^{ac}$) 3 λεπτοψαμάθων Pauw: λεπτομαθῶν M 4 λιποῦσαι Turnebus: λειποῦσαι (sic) M 6 δημηλασίαν Auratus: δημηλασίαι M, et ita ut uidetur (ψήφωι … δημοσίαι) Σ 7 γνωσθεῖσαι M: γνωσθεῖσαν Moritz Schmidt 8 αὐτογενῆ Turnebus: αὐτογένητον M φυξανορίαν H. L. Ahrens: φυξάνοραν M$^{γρ}$: φυλαξάνοραν (λα in ras. M$^{s}$: -ανορὰν M$^{ac}$) M 10 <διάνοιαν> Weil: <καὶ ἄτιμον> Sandin 14 κῦμ' ἅλιον Hesych. α4800: κυμβάλεον M (β in ras.) 16 -δόνου Turnebus: -δόμου M 17 ἐπιπνοίας M$^{ac}$: ἐπινοίας M$^{pc}$ 18 τετέλεσται M: τετελέσθαι Pauw, Schütz 22 ἐριο- anon., Scaliger: ἱερο- M 22/23 lacunam statuit West, qui supplet e.g. <ἀλλ', ὦ πάτριοι δαίμονες Ἄργους> 23 ὧν … ὧν M: ὦ … ὦ Robortello 24 βαθυτίμους Musgrave: βαρύτιμοι M 25 χθόνιοι M: χθονίους Portus

καὶ Ζεὺς σωτὴρ τρίτος, οἰκοφύλαξ
ὁσίων ἀνδρῶν, δέξασθ' ἱκέτην
τὸν θηλυγενῆ στόλον αἰδοίωι
πνεύματι χώρας· ἀρσενοπληθῆ δ'
ἑσμὸν ὑβριστὴν Αἰγυπτογενῆ,
πρὶν πόδα χέρσωι τῆιδ' ἐν ἀσώδει
θεῖναι, ξὺν ὄχωι ταχυήρει
πέμψατε πόντονδ'· ἔνθα δὲ λαίλαπι
χειμωνοτύπωι βροντῆι στεροπῆι τ'
ὀμβροφόροισίν τ' ἀνέμοις ἀγρίας
ἁλὸς ἀντήσαντες ὄλοιντο,
πρίν ποτε λέκτρων ὧν θέμις εἴργει,
σφετεριξάμενοι πατραδελφείαν
τήνδ', ἀεκόντων ἐπιβῆναι.

νῦν δ' ἐπικεκλομένα στρ. α
Δῖον πόρτιν, ὑπερπόντιον τιμάορ', ἶνιν ἀνθονομού-
σας προγόνου βοὸς ἐξ ἐπιπνοίας
Ζηνός· ἔφαψιν ἐπωνυμίαν δ' ἐπεκραίνετο μόρσιμος αἰὼν
εὐλόγως, Ἔπαφον δ' ἐγέννασεν·

ὅντ' ἐπιλεξαμένα ἀντ. α
νῦν ἐν ποιονόμοις ματρὸς ἀρχαίας τόποις, τῶν πρόσθε πόνων
μνασαμένα τά τε νῦν ἐπιδείξω
πιστὰ τεκμήρια, γαιονόμοισι δ' ἄελπτά περ ὄντα φανεῖται·
γνώσεται δὲ λόγου τις ἐν μάκει.

εἰ δὲ κυρεῖ τις πέλας οἰωνοπόλων στρ. β
ἐγγάϊος οἶκτον ἀΐων,

27 δέξασθ' Heath: δέξαιθ' M 38 σφετεριξάμενοι Portus, πατραδελφείαν Pauw: -ξάμενον -φίαν M 40 ἐπικεκλομένα Turnebus: ἐπικεκλόμεναι M 42 ἶνιν Hermann: ἰνίν τ' M: ἰνίν γ' Page 43 ἀνθονομούσας Porson: ἀνθονόμουστασ M$^{ac}$: ἀνθονόμου τᾶσ M$^{pc}$: ἀνθονόμον τᾶς Tucker 44 ἐπιπνοίας Σ: ἐπιπνοίαις M 45 ἐπωνυμίαν Auratus: ἐπωνυμίαι M 53 τά τε suspectum: τάδε Page 54 γαιονόμοισι δ' Hermann: τά τ' ἀνόμοια οἶδ' M (τά τ' in ras.) 56 λόγου Σ: λόγους M 59 οἶκτον Bothe: οἶκτον οἰκτρὸν M

δοξάσει τιν' ἀκούειν ὄπα τᾶς Τηρεΐας
μήτιδας οἰκτρᾶς ἀλόχου,
κιρκηλάτου γ' Ἀηδονᾶς,

ἅτ' ἀπὸ χλωρῶν ποταμῶν ἐργομένα ἀντ. β
πενθεῖ νέον οἶκτον ἠθέων,
ξυντίθησι δὲ παιδὸς μόρον, ὡς αὐτοφόνως
ὤλετο πρὸς χειρὸς ἔθεν
δυσμάτορος κότου τυχών.

τὼς καὶ ἐγὼ φιλόδυρτος Ἰαονίοισι νόμοισι στρ. γ
δάπτω τὰν ἁπαλὰν εἱλοθερῆ παρειὰν
ἀπειρόδακρύν τε καρδιάν·
γοεδνὰ δ' ἀνθεμίζομαι
δειμαίνουσ', ἀφίλου τᾶσδε φυγᾶς
Ἀερίας ἀπὸ γᾶς
εἴ τίς ἐστι κηδεμών.

ἀλλὰ θεοὶ γενέται κλύετ' εὖ τὸ δίκαιον ἰδόντες· ἀντ. γ
ἥβαν μὴ τέλεον δόντες ἔχειν παρ' αἶσαν,
ὕβριν δ' ἐτύμως στυγόντες,
πέλοιτ' ἂν ἔνδικοι †γάμοις†.
ἔστι δὲ κἀκ πολέμου τειρομένοις
βωμὸς ἀρῆς φυγάσιν
ῥῦμα, δαιμόνων σέβας.

εἴθ' εἴη 'κ Διὸς εὖ παναλη- στρ. δ
θῶς· Διὸς ἵμερος οὐκ
εὐθήρατος ἐτύχθη·

60 τιν' Auratus, ἀκούειν Portus: τις ἀκούων M 61 μήτιδας Pauw: μήτιδος M 62 γ' anon.: τ' M Ἀηδονᾶς tent. Sandin (-όνας Wilamowitz): ἀηδονῆς M: ἀηδόνος Turnebus 63 χλωρῶν ποταμῶν Scheer: χώρων ποταμῶν τ' M 64 νέον M: μὲν Haecker 66 ἔθεν Porson: ἕο ἐν M 68 φιλόδυρτος Heath: φιλοδύρτοις M 71 εἱλοθερῆ Musgrave: νειλοθερῆ M 74 δειμαίνουσ' ἀφίλου Musgrave: δειμαίνουσα φίλους (φίλ- ex φόλ- $M^{s}$) M: δειμαίνουσ' ἀφόνου Headlam 80 ἥβαν $^{i}\Sigma$: ηβαι M 81 ἐτύμως (ἐτ-) Suliardus: ἑτοίμως M 82 ἔνδικοι γάμοις M: ἔνδικοι γένει Menzel 83 πολέμου $^{\lambda}\Sigma$: πτολέμου M 86 εἴθ' εἴη 'κ Διὸς Heath: εἰ θείη Διὸς M

δαῦλοι γὰρ πραπίδων
δάσκιοί τε τείνου-
σιν πόροι κατιδεῖν ἄφραστοι.

πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώ- ἀντ. δ
τωι, κορυφᾶι Διὸς εἰ
κρανθῆι πρᾶγμα τέλειον.
πάνται τοι φλεγέθει
κἀν σκότωι μελαίναι
ξὺν τύχαι μερόπεσσι λαοῖς.

ἰάπτει δ' ἐλπίδων στρ. ε
ἀφ' ὑψιπύργων πανώλεις βροτούς,
βίαν δ' οὔτιν' ἐξοπλίζει·
πᾶν ἄπονον δαιμονίων·
ἥμενος ὃν φρόνημά πως
αὐτόθεν ἐξέπραξεν ἔμ-
πας ἑδράνων ἀφ' ἁγνῶν.

ἰδέσθω δ' εἰς ὕβριν ἀντ. ε
βρότειον, οἷος νεάζει πυθμὴν
δι' ἁμὸν γάμον τεθαλὼς
δυσπαραβούλοισι φρεσὶν
καὶ διάνοιαν μαινόλιν
κέντρον ἔχων ἄφυκτον, †ἄ-
ται δ' ἀπάται† μεταγνούς.

τοιαῦτα πάθεα μέλεα θρεομένα λέγω, στρ. ζ
λιγέα βαρέα δακρυοπετῆ,
ἰὴ ἰή, ἰηλέμοισιν ἐμπρεπῆ·

88–90 et 93–5 inter se transp. Westphal 95 κατιδεῖν Par. 2886: κατειδεῖν M 96 δ' ἐλπίδων Musgrave: δὲ ἀπϊδὼν M 100 πᾶν Labbaeus, ἄπονον Pauw: τὰν ἄποινον M 101 ἥμενος Paley, ὃν Haupt: ἥμενον ἄνω M 103 ἀφ' Σ 102: ἐφ' M Σ 101 105 οἷος Whittle: οἷα M: οἵαι Schütz 107 τεθαλὼς Bothe (praeeunte Musgrave), cf. Σ: τὸ θάλως $M^{ac}$: τὸ θάλος $M^{pc}$ 110–11 ἄται δ' ἀπάται M (ι utrumque $M^{s}$ in ras.): ἄταν (Guelf.$^{ac}$) δ' ἀγαπᾶν West. 112 λέγω Canter: λέγων M 115 ἐμπρεπῆ Porson: ἐμπρέπη θρεομένη μέλη (cf. 112) M

ζῶσα γόοις με τιμῶ.
ἱλεῶμαι μὲν Ἀπίαν βοῦνιν –
καρβᾶνα δ' αὐδὰν εὖ, γᾶ, κοννεῖς –
πολλάκι δ' ἐμπίτνω ξὺν λακίδι λινοσινεῖ
Σιδονίαι καλύπτραι.

θεοῖς δ' ἐναγέα τέλεα πελομένων καλῶς ἀντ. ζ
ἐπίδρομ', ὁπόθι θάνατος ἀπῆι.
ἰὼ ἰώ, ἰὼ δυσάγκριτοι πόνοι·
ποῖ τόδε κῦμ' ἀπάξει;
ἱλεῶμαι μὲν Ἀπίαν βοῦνιν –
καρβᾶνα δ' αὐδὰν εὖ, γᾶ, κοννεῖς –
πολλάκι δ' ἐμπίτνω ξὺν λακίδι λινοσινεῖ
Σιδονίαι καλύπτραι.

πλάτα μὲν οὖν λινορραφής στρ. η
τε δόμος, ἅλα στέγον δόρυ,
ἀχείματόν μ' ἔπεμπε σὺν
πνοαῖς, οὐδὲ μέμφομαι·
τελευτὰς δ' ἐν χρόνωι
πατὴρ ὁ παντόπτας
πρευμενεῖς κτίσειεν,
σπέρμα σεμνᾶς μέγα ματρὸς εὐνὰς
ἀνδρῶν, ἒ ἕ,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.

θέλουσα δ' αὖ θέλουσαν ἁγ- ἀντ. η
νά μ' ἐπιδέτω Διὸς κόρα,
ἔχουσα σέμν' ἐνώπι' ἀ-
σφαλῆ, παντὶ δὲ σθένει
διωγμοῖς ἀσχαλῶσ'
ἀδμῆτος ἀδμήτα

119, 130 εὖ, γᾶ Boissonade, κοννεῖς Burges: cf. Σ ὦ γῆ, νοεῖς: εὐακοννεῖς (119), εὐγακόννις (130) M 121, 132 λινοσινεῖ Bücheler: λίνοισινῆι (121), αἴνοισινῆ (132) M 124 ἀπῆι Σ: ὅπηι M 135 στέγον δόρυ Friis Johansen: στέγων δορὸς M 136–7 σὺν πνοαῖς Porson: συμπνοιαῖς M 141, 151 μέγα M: με Wilamowitz 143, 153 ἀδάματον Bothe: ἀδάμαντον M 146–7 ἀσφαλῆ Sidgwick (-έα Headlam): ἀσφαλές M: ἀσφαλής Young 147 σθένει Canter: σθένος M: σθενουσι M[s] 148 διωγμοῖς ἀσχαλῶσ' Hermann: διωγμοῖσι δ' ἀσφαλέας M 149 ἀδμῆτος Pauw: ἀδμήτας M

ῥύσιος γενέσθω·
σπέρμα σεμνᾶς μέγα ματρὸς εὐνὰς
ἀνδρῶν, ἓ ἕ,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.

εἰ δὲ μή, μελανθὲς — στρ. θ
ἡλιόκτυπον γένος
τὸν γάϊον, τὸν πολυξενώτατον
Ζῆνα τῶν κεκμηκότων
ἱξόμεσθα σὺν κλάδοις
ἀρτάναις θανοῦσαι,
μὴ τυχοῦσαι θεῶν Ὀλυμπίων.

ἆ Ζήν, Ἰοῦς – ἰώ – — μεσωιδ.
μῆνις μάστειρ᾽ ἐκ θεῶν.
κοννῶ δ᾽ ἄγαν
γαμετᾶς οὐρανόνικον·
χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμών.

καὶ τότ᾽ οὐ δικαίοις — ἀντ. θ
Ζεὺς ἐνέξεται ψόγοις,
τὸν τᾶς βοὸς παῖδ᾽ ἀτιμάσας, τὸν αὐ-
τός ποτ᾽ ἔκτισεν γόνωι,
νῦν ἔχων παλίντροπον
ὄψιν ἐν λιταῖσιν;
ὑψόθεν δ᾽ εὖ κλύοι καλούμενος.

ΔΑΝΑΟΣ

παῖδες, φρονεῖν χρή· ξὺν φρονοῦντι δ᾽ ἥκετε
πιστῶι γέροντι τῶιδε ναυκλήρωι πατρί·
καὶ τἀπὶ χέρσου νῦν προμηθίαν λαβὼν
αἰνῶ φυλάξαι τἄμ᾽ ἔπη δελτουμένας.

154 δὲ Σ: δὴ M 155 ἡλιό- Wellauer: ἡδιό- M 156 γάϊον Wellauer, cf. Σ καταχθόνιον: ταιον M: ἀγραῖον *Et.Gud.* 578.11 de Stefani = *Anecd. Ox.* ii 443 (s.v. Ζαγρεύς), unde Ζαγρέα Blomfield 162 ἆ Ζήν distinxit Salvini, Ἰοῦς ἰώ Robortello: αζηνιουσιω M 164 κοννῶ δ᾽ Turnebus, ἄγαν Bamberger: κοννωδάταν M 165 γαμετᾶς οὐρανό- Turnebus, -νικον Victorius : γαμετουρανόνεικον M 169 ἐνέξεται Porson, ψόγοις Headlam: ἐνεύξεται λόγοις M 176 ἥκετε Porson: ἵκετε M 178 λαβὼν Wordsworth: λαβεῖν M

ὁρῶ κόνιν, ἄναυδον ἄγγελον στρατοῦ·
σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι·
ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον
λεύσσω ξὺν ἵπποις καμπύλοις τ' ὀχήμασιν.
τάχ' ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέτης
<                                        >
ὀπτῆρες εἶεν, ἀγγέλων πεπυσμένοι·
ἀλλ' εἴτ' ἀπήμων εἴτε καὶ τεθηγμένος
ὠμῆι ξὺν ὀργῆι τόνδ' ἐπόρνυται στόλον,
ἄμεινόν ἐστι παντὸς οὕνεκ', ὦ κόραι,
πάγον προσίζειν τόνδ' ἀγωνίων θεῶν·
κρεῖσσον δὲ πύργου βωμός, ἄρρηκτον σάκος.
ἀλλ' ὡς τάχιστα βᾶτε, καὶ λευκοστεφεῖς
ἱκετηρίας, ἀγάλματ' αἰδοίου Διός,
σεμνῶς ἔχουσαι διὰ χερῶν εὐωνύμων
αἰδοῖα καὶ γοεδνὰ καὶ ζαχρεῖ' ἔπη
ξένους ἀμείβεσθ', ὡς ἐπήλυδας πρέπει,
τορῶς λέγουσαι τάσδ' ἀναιμάκτους φυγάς.
φθογγῆι δ' ἑπέστω πρῶτα μὲν τὸ μὴ θρασύ,
τὸ μὴ μάταιον δ' ἐκ †μετώπω σωφρονῶν†
ἴτω προσώπων ὄμματος παρ' ἡσύχου.
καὶ μὴ πρόλεσχος μηδ' ἐφολκὸς ἐν λόγωι
γένηι· τὸ τῆιδε κάρτ' ἐπίφθονον γένος.
μέμνησο δ' εἴκειν· χρεῖος εἶ, ξένη, φυγάς·
θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας.
Χο. πάτερ, φρονούντως πρὸς φρονοῦντας ἐννέπεις·
φυλάξομαι δὲ τάσδε μεμνῆσθαι σέθεν
κεδνὰς ἐφετμάς· Ζεὺς δὲ γεννήτωρ ἴδοι. 206
Δα. ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος. 210
Χο. θέλοιμ' ἂν ἤδη σοὶ πέλας θρόνους ἔχειν. 208
Δα. μή νυν σχόλαζε, μηχανῆι δ' ἔστω κράτος. 207

184 ἀρχηγέτης Friis Johansen: ἀρχηγέται M 184/5 lacunam statuit Foss: possis e.g. <ὀπάονές θ' ἥκοιεν, ὡς τῶν ἐνθάδε> 185 πεπυσμένοι M: πεπυσμένος Bowen 186 τεθηγμένος Portus: τεθειμένος M 188 οὕνεκ' Heath: εἵνεκ' M 189 τόνδ' Turnebus: τῶνδ' M 190 κρεῖσσον $M^{pc}$: κρείσσων $M^{ac}$ 193 εὐωνύμων Σ (τῆι ἀριστερᾶι τοὺς κλάδους κατέχουσαι): συνωνύμων M 194 γοεδνὰ Robortello, Turnebus: γοείδηα M ζαχρεῖ' Geel: τὰ χρέα M 197 ἑπέστω Bothe: ἐπέσθω M 198 μετώπω σωφρονῶν M: σεσωφρονισμένων Dindorf 202 εἶ ξένη Sophianus, Turnebus: εἶξεν ἡ M 210 post 206 transp. Burges, 208 ante 207 Hermann 207 μηχανῆι Sommerstein (-ναῖς Bothe): μηχανῆς M

Χο. ὦ Ζεῦ, σκοπῶν οἴκτιρε μὴ 'πολωλότας.
Δα. κείνου θέλοντος εὖ τελευτήσει τάδε.
καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλήσκετε.
Χο. καλοῦμεν αὐγὰς Ἡλίου σωτηρίους.
Δα. ἁγνόν τ' Ἀπόλλω, φυγάδ' ἀπ' οὐρανοῦ θεόν.
Χο. εἰδὼς ἂν αἶσαν τήνδε συγγνοίη βροτοῖς.
Δα. συγγνοῖτο δῆτα καὶ παρασταίη πρόφρων.
Χο. τίν' οὖν κικλήσκω τῶνδε δαιμόνων ἔτι;
Δα. ὁρῶ τρίαιναν τήνδε, σημεῖον θεοῦ.
Χο. ἀλλ' εὖ τ' ἔπεμψεν εὖ τε δεξάσθω χθονί.
Δα. Ἑρμῆς ὅδ' ἄλλος τοῖσιν Ἑλλήνων νόμοις.
Χο. ἐλευθέροις νυν ἐσθλὰ κηρυκευέτω.
Δα. πάντων δ' ἀνάκτων τῶνδε κοινοβωμίαν
σέβεσθ'· ἐν ἁγνῶι δ' ἑσμὸς ὣς πελειάδων
ἵζεσθε κίρκων τῶν ὁμοπτέρων φόβωι,
ἐχθρῶν ὁμαίμων καὶ μιαινόντων γένος.
ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;
πῶς δ' ἂν γαμῶν ἄκουσαν ἄκοντος πάρα
ἁγνὸς γένοιτ' ἄν; οὐδὲ μὴ 'ν Ἅιδου θανὼν
φύγηι ματαίων αἰτίας πράξας τάδε·
κἀκεῖ δικάζει τἀμπλακήμαθ', ὡς λόγος,
Ζεὺς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας.
σκοπεῖτε κἀμείβεσθε τόνδε τὸν τρόπον,
ὅπως ἂν ὑμῖν πρᾶγος εὖ νικᾶι τόδε.

ΠΕΛΑΣΓΟΣ
ποδαπὸν ὅμιλον τόνδ' ἀνελληνόστολον
πέπλοισι βαρβάροισι κἀμπυκώμασιν

209 ὦ Turnebus: ἰὼ M Ζεῦ σκοπῶν Friis Johansen: ζεὺς κόπων M: ζεῦ κόπων M[s] 212 ὄρνιν M (litteris ος ορνιν το maioribus interuallis in rasura scriptis): ἶνιν Kiehl κικλήσκετε Scurial.[s]: κικλήσκεται M[s]: κικλίσκεται M 215 συγγνοίη Lobeck (συγγνώιη iam Robortello, Turnebus): εὐγνώη M 217 κικλήσκω Par. 2886: κικλίσκω M 223 δ' ἑσμὸς Portus: δεσμὸς M 224 ἵζεσθε Scurial.: ἵζεσθαι M: ιξεσθε M[s] κίρκων Robortello, Turnebus: κέρκω M[s]: κρέκω M 226 ἂν ἁγνεύοι Plut. *Rom.* 9.6, *Mor.* 286c: ἀνεινεύοι M 229 ματαίων Musgrave: μάταιον M 230 τἀμπλακήμαθ' ὡς Stephanus (partim praeeuntibus Turnebo et Victorio): ταπλα ἐν μαβως M 232 τρόπον anon.: τόπον M 234 ἀνελληνόστολον Bothe: ἀνέλληνα στόλον M 235 κἀμπυκώμασιν Bergk: καὶ πυκνώμασιν M

χλίοντα προσφωνοῦμεν; οὐ γὰρ Ἀργολὶς
ἐσθὴς γυναικῶν οὐδ' ἀφ' Ἑλλάδος τόπων.
ὅπως δὲ χώραν οὔτε κηρύκων ὕπο
ἀπρόξενοί τε νόσφι θ' ἡγητῶν μολεῖν
ἔτλητ' ἀτρέστως, τοῦτο θαυμαστὸν πέλει.
κλάδοι γε μὲν δὴ κατὰ νόμους ἀφικτόρων
κεῖνται παρ' ὑμῖν πρὸς θεοῖς ἀγωνίοις·
μόνον τόδ' Ἑλλὰς χθὼν ξυνοίσεται στόχωι.
καὶ τἄλλα πόλλ' ἔτ' εἰκάσαι δίκαιον ἦν,
εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν.

Χο. εἴρηκας ἀμφὶ κόσμον ἀψευδῆ λόγον·
ἐγὼ δὲ πρὸς σὲ πότερον ὡς ἔτην λέγω
ἢ τηρὸν ἱερόρραβδον ἢ πόλεως ἀγόν;

Πε. †πρὸς ταῦτ'† ἀμείβου καὶ λέγ' εὐθαρσὴς ἐμοί.
τοῦ γηγενοῦς γάρ εἰμ' ἐγὼ Παλαίχθονος
ἶνις Πελασγός, τῆσδε γῆς ἀρχηγέτης·
ἐμοῦ δ' ἄνακτος εὐλόγως ἐπώνυμον
γένος Πελασγῶν τήνδε καρποῦται χθόνα.
καὶ πᾶσαν αἶαν, ἧς δι' ἁγνὸς ἔρχεται
Στρυμών, τὸ πρὸς δύνοντος ἡλίου, κρατῶ·
ὁρίζομαι δὲ τήν τε Περραιβῶν χθόνα
Πίνδου τε τἀπέκεινα Χαόνων πέλας
ὄρη τε Δωδωναῖα· συντέμνει δ' ὅρος
ὑγρᾶς θαλάσσης· τῶνδε τἀπὶ τάδε κρατῶ.
αὐτῆς δὲ χώρας Ἀπίας πέδον τόδε
πάλαι κέκληται φωτὸς ἰατροῦ χάριν·
Ἆπις γὰρ ἐλθὼν ἐκ πέρας Ναυπακτίας
ἰατρόμαντις παῖς Ἀπόλλωνος χθόνα
τήνδ' ἐκκαθαίρει κνωδάλων βροτοφθόρων,

239 νόσφι θ' Portus: νόσφιν M 240 ἀτρέστως Sophianus, Turnebus: ἀκρέστως M 243 ξυνοίσεται Porson: συνοίσεται M 244 ἔτ' εἰκάσαι Martin: ἐπεικάσαι M 248 ἱερόρραβδον Headlam (similia antea complures): ἤερου ῥάβδον M: ἑρμοῦ ῥάβδον coni. M$^{s}$ 249 lacunam unius versus ante ἀμείβου statuit Sandin: dixit fortasse Pelasgus 'ad haec respondens (πρὸς ταῦτα) <declarabo quid sim: tu autem (σὺ δ' αὖτ' Sandin)> responde …' λέγ' εὐθαρσὴς Turnebus: λέγετ' εὐθαρσεῖς M 251 Πελασγός Canter: πελασγοῦ M 254 αἶαν ἧς Turnebus (αἶαν legebat Σ, idemque superscriptum exhibet Guelf.): αἴδνης M δι' ἁγνὸς Wordsworth: διάλγος M 256 τήν τε Portus: τήνδε M 257 Χαόνων Tucker: Παιόνων M: hoc cum Περραιβῶν (256) commutauit Friis Johansen 259 τἀπὶ τάδε Canter: τἄπειτα δὲ M

τὰ δὴ παλαιῶν αἱμάτων μιάσμασιν
χρανθεῖσ' ἀνῆκε γαῖα †μηνεῖται ἄκη†
δρακονθόμιλον δυσμενῆ ξυνοικίαν.
τούτων ἄκη τομαῖα καὶ λυτήρια
πράξας ἀμέμπτως Ἆπις Ἀργείαι χθονὶ
μνήμην τότ' ἀντίμισθον ηὕρετ' ἐν λιταῖς.
ἔχουσα δ' ἤδη τἀπ' ἐμοῦ τεκμήρια
γένος τ' ἂν ἐξεύχοιο καὶ λέγοις πρόσω·
μακρὰν γε μὲν δὴ ῥῆσιν οὐ στέργει πόλις.
Χο. βραχὺς τορός θ' ὁ μῦθος· Ἀργεῖαι γένος
ἐξευχόμεσθα, σπέρματ' εὐτέκνου βοός·
χὠς ταῦτ' ἀληθῆ, πιστὰ προσφύσω λόγωι.
Πε. ἄπιστα μυθεῖσθ', ὦ ξέναι, κλυεῖν ἐμοί,
ὅπως τόδ' ὑμῖν ἐστιν Ἀργεῖον γένος.
Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι
γυναιξίν ἐστε, κοὐδαμῶς ἐγχωρίαις·
καὶ Νεῖλος ἂν θρέψειε τοιοῦτον φυτόν·
{Κύπριος χαρακτήρ τ' ἐν γυναικείοις τύποις
εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων}
Ἰνδάς τ' ἀκούω νομάδας ἱπποβάμοσιν
εἶναι καμήλοις ἀστραβιζούσας χθόνα
παρ' Αἰθίοψιν ἀστυγειτονουμένας·
καὶ τὰς ἀνάνδρους κρεοβότους τ' Ἀμαζόνας,
εἰ τοξοτευχεῖς ἦστε, κάρτ' ἂν ἤικασα
ὑμᾶς. διδαχθεὶς δ' ἂν τόδ' εἰδείην πλέον,
ὅπως γένεθλον σπέρμα τ' Ἀργεῖον τὸ σόν.
Χο. κληιδοῦχον Ἥρας φασὶ δωμάτων ποτὲ

265 δή Turnebus: δὲ M 266 μηνεῖται ἄκη M: μηνίσασ' ἄχη Martin 267 δρακονθόμιλον Bothe: δράκονθ' ὅμιλον $M^{s}$: δράκων θ' ὁμιλῶν M 269 ἀμέμπτως Robotello, Turnebus, Ἆπις Guelf.$^{pc}$: μεμπτῶς ἄπεισ' M 270 τοτ' Kirchhoff, ἀντίμισθον Turnebus: ποντantινεισθον M 271 ἔχουσα δ' Heimsoeth: ἔχουσαν $^{γρ}M^{s}$: ἔχον δ' ἂν M 272 γένος τ' … λέγοις Robortello, πρόσω Par. 2886: γένοιτ' … λέγοι προσως M 273 μὲν Robortello, δὴ ῥῆσιν Sophianus, Turnebus: μιν δηρίσιν M 276 χὠς Sommerstein: καὶ M πιστὰ Zakas: πάντα M λόγωι $M^{s}$: λόγων M: λόγον Whittle 277 ἄπιστα Ald.: ἄπειστα M 280 γυναιξίν Turnebus: γυναιξὶ δ' M 282–3 del. Friis Johansen et Whittle Κύπριος ($M^{s}$, Κύπρις $M^{ac}$) … εἰκὼς M: εἰκὼς … Κυπρίοις Sommerstein 284 Ἰνδάς anon.: Ἰνδούς M ἀκούω Robortello, Turnebus: ἀκούων M 285 ἀστραβιζούσας $M^{pc}$: ἀστραβιζούσαις $M^{ac}$ $^{i}Σ^{M}$ 287 κρεοβότους Scaliger, τ' Porson: κρεοβρότους δ' M 289 δ' Abresch: om. M

Ἰὼ γενέσθαι τῆιδ' ἐν Ἀργείαι χθονί.
Πε. ἦν ὡς μάλιστα, καὶ φάτις πολλὴ κρατεῖ. 293
Χο. μὴ καὶ λόγος τις Ζῆνα μειχθῆναι βροτῶι; 295
Πε. κἄκρυπτά γ' Ἥρας ταῦτα τἀμπαλάγματ' ἦν.
Χο. < -μάτων.>
Πε. πῶς οὖν τελευτᾶι βασιλέωιν νείκη τάδε;
Χο. βοῦν τὴν γυναῖκ' ἔθηκεν Ἀργεία θεός.
Πε. οὐκοῦν πελάζει Ζεὺς ἔτ' εὐκραίρωι βοΐ; 300
Χο. φασίν, πρέποντα βουθόρωι ταύρωι δέμας.
Πε. τί δῆτα πρὸς ταῦτ' ἄλοχος ἰσχυρὰ Διός;
Χο. τὸν πάνθ' ὁρῶντα φύλακ' ἐπέστησεν βοΐ.
Πε. ποῖον πανόπτην οἰοβούκολον λέγεις;
Χο. Ἄργον, τὸν Ἑρμῆς παῖδα Γῆς κατέκτανεν. 305
Πε. τί οὖν ἔτευξ' ἔτ' ἄλλο δυσπότμωι βοΐ; 306
Χο. βοηλάτην <ἔπεμψεν ἐπτερωμένον. 306a
Πε. βοῶν λέγεις> μύωπα κινητήριον; 307
Χο. οἶστρον καλοῦσιν αὐτὸν οἱ Νείλου πέλας. 308
Πε. καὶ ταῦτ' ἔλεξας πάντα συγκόλλως ἐμοί. 310
Χο. καὶ μὴν Κάνωβον κἀπὶ Μέμφιν ἵκετο. 311
Πε. τοῖ γάρ νιν ἐκ γῆς ἤλασεν μακρῶι δρόμωι; 309
Χο. καὶ Ζεύς γ' ἐφάπτωρ χειρὶ φιτύει γόνον. 313
Πε. τίς οὖν ὁ Δῖος πόρτις εὔχεται βοός;
Χο. Ἔπαφος, ἀληθῶς ῥυσίων ἐπώνυμος. 315
Πε. <Ἐπάφου δὲ ;>
Χο. Λιβύη, μέγιστον γῆς <⏑ -> καρπουμένη.
Πε. τίν' οὖν ἔτ' ἄλλον τῆσδε βλαστημὸν λέγεις;
Χο. Βῆλον δίπαιδα, πατέρα τοῦδ' ἐμοῦ πατρός.

292 τῆιδ' ἐν Sophianus, Turnebus: τῆ ἰδεῖν M 295 μειχ- Wilamowitz, -θῆναι Guelf.: μιχθῆνα M 296 κἄκρυπτα Hermann: καὶ κρυπτὰ M: κοὐ κρυπτὰ Portus τἀμπαλάγματ' ἦν Wilamowitz (τἀμπαλάγματα iam Hermann), cf. Hesych. ε2412: παλλαγμάτων M 297 lacunam statuit Porson: <κυρεῖ δύ' ἤδη τῶν ἐμῶν τοξευμάτων> e.g. West 298 βασιλέωιν Schulze: βασιλέων M 299 βοῦν τὴν Canter: βούτην $M^{pc}$: βουνίτην $M^{ac}$ 300 ἔτ' Schütz: ἐπ' M 301 πρέποντα Turnebus: πρέποντας M 302 δῆτα Victorius: δὴ M ταῦτ' ἄλοχος Turnebus, Robortello, ἰσχυρὰ Pauw: ταῦταλόχοισχυρα M 306 ἔτευξ' ἔτ' Robertson: ἔτευξε δ' M 306a–7 lacunam statuit et exempli gratia suppleuit West 308 πέλας Turnebus: πέδας M: παῖδες coni. $M^{s}$ 309 post 311 transp. Rose (lacunam post 311 posuerat Hermann) τοῖ γάρ M : τοίγαρ $^{i}$Σ ἐκ γῆς Portus: ἐκ τῆς M 313 φιτύει Scaliger: φυτεύει M 314 τίς Par. 2886: τί M 316 lacunam statuit Stanley; <Ἐπάφου δὲ τίς ποτ' ἐξεγεννήθη πατρός;> e.g. Bothe 317 <λάχος> suppl. Zakas, <θέρος> Dawe

Πε. τὸ πάνσοφόν νυν ὄνομα τούτου μοι φράσον.
Χο. Δαναός· ἀδελφὸς δ' ἔστι πεντηκοντόπαις.
Πε. καὶ τοῦδ' ἄνοιγε τοὔνομ' ἀφθόνωι λόγωι.
Χο. Αἴγυπτος. εἰδὼς δ' ἁμὸν ἀρχαῖον γένος
πράσσοις ἄν, ὡς Ἀργεῖον ἀνστῆσαι στόλον.
Πε. δοκεῖτε μέν μοι τῆσδε κοινωνεῖν χθονὸς
τἀρχαῖον· ἀλλὰ πῶς πατρῶια δώματα
λιπεῖν ἔτλητε; τίς κατέσκηψεν τύχη;
Χο. ἄναξ Πελασγῶν, αἰόλ' ἀνθρώπων κακά,
πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταὐτὸν πτερόν·
ἐπεὶ τίς ηὔχει τήνδ' ἀνέλπιστον φυγὴν
κέλσειν ἐς Ἄργος κῆδος ἐγγενὲς †τὸ πρὶν
ἔχει μετὰ πτοιοῦσαν† εὐναίων γάμων;
Πε. τί φῂς ἱκνεῖσθαι τῶνδ' ἀγωνίων θεῶν
λευκοστεφεῖς ἔχουσα νεοδρέπτους κλάδους;
Χο. ὡς μὴ γένωμαι δμωῒς Αἰγύπτου γένει.
Πε. πότερα κατ' ἔχθραν, ἢ τὸ μὴ θέμις λέγεις;
Χο. τίς δ' ἂν †φίλους ὤνοιτο† τοὺς κεκτημένους;
Πε. σθένος μὲν οὕτω μεῖζον αὔξεται βροτοῖς.
Χο. καὶ δυστυχούντων γ' εὐμαρὴς ἀπαλλαγή.
Πε. πῶς οὖν πρὸς ὑμᾶς εὐσεβὴς ἐγὼ πέλω;
Χο. αἰτοῦσι μὴ 'κδοὺς παισὶν Αἰγύπτου πάλιν.
Πε. βαρέα σύ γ' εἶπας, πόλεμον ἄρασθαι νέον.
Χο. ἀλλ' ἡ Δίκη γε ξυμμάχων ὑπερστατεῖ.
Πε. εἴπερ γ' ἀπ' ἀρχῆς πραγμάτων κοινωνὸς ἦν.
Χο. αἰδοῦ σὺ πρύμναν πόλεος ὧδ' ἐστεμμένην.

320 τούτου Portus: τοῦτό M 321 ἀδελφὸςδ' Scaliger: δ'ἀδελφὸς M πεντηκοντό- Par. 2886: πεντηκοστό- M: πεντηκοντά- Heath 322 τοῦδ' ἄνοιγε Porson: τοῦ δαναοίγε M 323 εἰδὼς Turnebus: δ' εἰδὼς M 324 ἀνστῆσαι Marckscheffel: ἀνστήσας M: ἀντήσας M^s in margine 325 μέν Zakas: om. M 327 λιπεῖν M^2: λειπεῖν (sic) M 329 πτερόν Turnebus: πότερον M 331 κέλσειν Robortello, Turnebus: κέλσειεν M 331–2 τὸ πρὶν … πτοιοῦσαν M: τὸ πᾶν ἔχθει (Turnebus) μ' ἀποπτύουσαν Friis Johansen et Whittle 333 ἱκνεῖσθαι M: μ' ἱκνεῖσθαι Abresch 337 φίλους M: φιλοῦσ' Bamberger ὤνοιτο M: ὠνοῖτο Turnebus: ὄνοιτο Robortello: οἴοιτο Portus post hunc uersum lacunam statuit Wilamowitz 338 οὕτω Turnebus: οὕτως M 339 δυστυχούντων Sanmarc., γ' Turnebus: δυστυχόντων τ' M^s: δυστυχόντων M 341 μὴ 'κδοὺς Schütz: μὴκδῶις M 342 ἄρασθαι Guelf.: αἴρασθαι M 344 κοινωνὸς ἦν Sophianus, Turnebus: κοινὸς ἦν M^pc: κοιν[. .'.]ν M^ac κοινωνὸς ἦι West 345 πόλεος Turnebus: πόλεως M ἐστεμμένην Robortello, Turnebus: ἐστεμμένη M

Πε. πέφρικα λεύσσων τάσδ' ἕδρας κατασκίους·
βαρύς γε μέντοι Ζηνὸς ἱκεσίου κότος.

Χο. Παλαίχθονος τέκος, κλῦθί μου στρ. α
πρόφρονι καρδίαι, Πελασγῶν ἄναξ·
ἴδε με τὰν ἱκέτιν φυγάδα περίδρομον,
λυκοδίωκτον ὡς δάμαλιν ἂμ πέτραις
ἠλιβάτοις, ἵν' ἀλ-
κᾶι πίσυνος μέμυκε φρά-
ζουσα βοτῆρι μόχθους.
Πε. ὁρῶ κλάδοισι νεοδρόποις κατάσκιον
ναύονθ' ὅμιλον τόνδ' ἀγωνίων θεῶν·
εἴη δ' ἄνατον πρᾶγμα τοῦτ' ἀστοξένων,
μηδ' ἐξ ἀέλπτων κἀπρομηθήτων πόλει
νεῖκος γένηται· τῶν γὰρ οὐ δεῖται πόλις.

Χο. ἴδοιτο δῆτ' ἄνατον φυγὰν ἀντ. α
ἱκεσία Θέμις Διὸς κλαρίου.
σὺ δὲ παρ' ὀψιγόνου μάθε γεραιόφρων·
ποτιτρόπαιον αἰδόμενος †οὖν περ†
<— ⏑⏑ — ⏑ —>
†ἱεροδόκα θεῶν†
λήματ' ἀπ' ἀνδρὸς ἁγνοῦ.
Πε. οὔτοι κάθησθε δωμάτων ἐφέστιοι
ἐμῶν· τὸ κοινὸν δ' εἰ μιαίνεται πόλις,
ξυνῆι μελέσθω λαὸς ἐκπονεῖν ἄκη.
ἐγὼ δ' ἂν οὐ κραίνοιμ' ὑπόσχεσιν πάρος,
ἀστοῖς δὲ πᾶσι τῶνδε κοινώσας πέρι.

346 πέφρικα et τάσδ' ἕδρας Robortello: πέφυκα et τὰσδέδρα (-δρας Bonon.) M 350 με τὰν Stephanus: μέγαν M 351 λυκοδίωκτον Hermann: λευκόδικτον M 352 ἠλιβάτοις ἵν' Valckenaer: ἠλιβάτοισιν M 355 ναύονθ' Wecklein: νέον θ' M τόνδ' Hermann: τῶνδ' M 359 δῆτ' Pauw: δῆτα τὰν M 361 γεραιόφρων Burges: γεραφρόνων M 362–3 οὖν περ M: οὐ λιπερ<νὴς> uel sim. (e.g. οὐ λιπερ<νῆτα βίον ποθ' ἕ-|ξεις>) Headlam lacunam statuit Heath ἱεροδόκα M: ἱεραδοκεῖ uel ἱεραδόκ' <ἐστὶ> West 366 μιαίνεται M: μιαίνηται Bowen 367 ἐκπονεῖν Turnebus: ἐκπνοεῖν M 368 πάρος Sophianus, Turnebus: παρακρος M 369 ἀστοῖς Bourdelot: ἀστῶν M τῶνδε Portus, Scaliger: τοῖσδε M

Χο. σύ τοι πόλις, σὺ δὲ τὸ δάμιον· στρ. β
πρύτανις ἄκριτος ὢν
κρατύνεις βωμόν, ἑστίαν χθονός,
μονοψήφοισι νεύμασιν σέθεν,
μονοσκήπτροισι δ' ἐν θρόνοις χρέος
πᾶν ἐπικραίνεις· ἄγος φυλάσσου.
Πε. ἄγος μὲν εἴη τοῖς ἐμοῖς παλιγκότοις,
ὑμῖν δ' ἀρήγειν οὐκ ἔχω βλάβης ἄτερ·
οὐδ' αὖ τόδ' εὖφρον, τάσδ' ἀτιμάσαι λιτάς.
ἀμηχανῶ δὲ καὶ φόβος μ' ἔχει φρένας
δρᾶσαί τε μὴ δρᾶσαί τε καὶ τύχην ἑλεῖν.

Χο. τὸν ὑψόθεν σκοπὸν ἐπισκόπει, ἀντ. β
φύλακα πολυπόνων
βροτῶν οἳ τοῖς πέλας προσήμενοι
δίκας οὐ τυγχάνουσιν ἐννόμου.
μένει τοι Ζηνὸς ἱκταίου κότος,
δυσπαράθελκτος παθόντος οἴκτοις.
Πε. εἴ τοι κρατοῦσι παῖδες Αἰγύπτου σέθεν
νόμωι πόλεως, φάσκοντες ἐγγύτατα γένους
εἶναι, τίς ἂν τοῖς ἀντιωθῆναι θέλοι;
δεῖ τοί σε φεύγειν κατὰ νόμους τοὺς οἴκοθεν
ὡς οὐκ ἔχουσιν κῦρος οὐδὲν ἀμφὶ σοῦ.

Χο. μή τί ποτ' οὖν γενοίμαν ὑποχείριος στρ. γ
κράτεσιν ἀρσένων· ὕπαστρον δέ τοι
μῆχαρ ὁρίζομαι γάμου δύσφρονος
φυγάν. ξύμμαχον δ' ἑλόμενος Δίκαν
κρῖνε σέβας τὸ πρὸς θεῶν.
Πε. οὐκ εὔκριτον τὸ κρῖμα· μὴ 'μ' αἱροῦ κριτήν.
εἶπον δὲ καὶ πρίν· οὐκ ἄνευ δήμου τόδε
πράξαιμ' ἄν, οὐδέ περ κρατῶν, μὴ καί ποτε

370 δάμιον Dindorf: δήμιον M 374 θρόνοις Pauw (θρόνοισι Stephanus): χρόνοισι M 375 ἄγος Par. 2886: ἄλγος M 380 -σαί τε Scurial.: -σητε M 381 ἐπισκόπει Robortello, Turnebus: ἐπισκοπεῖ M 386 δυσπαράθελκτος Schütz: ὦ δυσπαραθέλκτοις M: δυσπαρθενήτοις M[s] in marg. 389 τίς Turnebus: τίς δ' M τοῖς M: τοῖσδ' M[s] θέλοι M[pc]: θέλει M[ac] 392 ὑποχείριος Robortello, Turnebus: ὑποχέριος M 395 φυγάν Heath: φυγαί M 397 κρῖμα M[pc]: κρίμα M[ac]: χρῆμα anon.: πρᾶγμα Maas 399 μὴ καί Canter: καὶ μή M

εἴπηι λεώς, εἴ πού τι μὴ λῶιον τύχοι,
"ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν".

Χο. ἀμφοτέρωσ' ὁμαίμων τάδ' ἐπισκοπεῖ — ἀντ. γ
Ζεὺς ἑτερορρεπής, νέμων εἰκότως
ἄδικα μὲν κακοῖς, ὅσια δ' ἐννόμοις·
τί τῶνδ' ἐξ ἴσου ῥεπομένων †μεταλ-
γεῖς τὸ δίκαιον ἔρξαι†;

Πε. δεῖ τοι βαθείας φροντίδος σωτηρίου,
δίκην κολυμβητῆρος εἰς βύθον μολεῖν
δεδορκὸς ὄμμα μηδ' ἄγαν ὠινωμένον,
ὅπως ἄνατα ταῦτα πρῶτα μὲν πόλει,
αὐτοῖσί θ' ἡμῖν ἐκτελευτήσει καλῶς,
καὶ μήτε Δῆρις ῥυσίων ἐφάψεται
μηδ' ἐν θεῶν ἕδραισιν ὧδ' ἱδρυμένας
ἐκδόντες ὑμᾶς τὸν πανώλεθρον θεὸν
βαρὺν ξύνοικον θησόμεσθ' Ἀλάστορα,
ὃς οὐδ' ἐν Ἅιδου τὸν θανόντ' ἐλευθεροῖ.
μῶν οὐ δοκεῖ δεῖν φροντίδος σωτηρίου;

Χο. φρόντισον καὶ γενοῦ πανδίκως — στρ. δ
εὐσεβὴς πρόξενος·
τὰν φυγάδα μὴ προδῶις
τὰν ἑκάθεν ἐκβολαῖς
δυσθέοις ὀρομέναν·

μηδ' ἴδηις μ' ἐξ ἑδρᾶν πολυθέων — ἀντ. δ
ῥυσιασθεῖσαν, ὦ
πᾶν κράτος ἔχων χθονός·
γνῶθι δ' ὕβριν ἀνέρων
καὶ φύλαξαι κότον.

400 μὴ Turnebus: καὶ μὴ M  λῶιον Schneidewin: τοῖον M  τύχοι Porson: τυχθῆ M  401 ἐπήλ- Robortello, Turnebus: εἰπήλ- M  402 ἀμφοτέρωσ' Burges: ἀμφοτέρους M: ἀμφοτέροις Schütz  405 τῶνδ' ἐξ ἴσου distinxit Victorius: τῶν δεξις οὐ M  405–6 μεταλγεῖς τὸ δίκαιον ἔρξαι M (ἀπορεῖς συμμαχῆσαι τῶι Διί $\Sigma^{M}$): fort. μεταλγοῖς (Friis Johansen) τὰ δίκαι' ἂν (Sommerstein) ἔρξας (Headlam).  409 ὠινωμένον (ὠν-) Turnebus: ὠνωμένων M  416 ὃς Stephanus, οὐδ' ἐν Ald.: ὡς οὐδὲν M  417 δοκεῖ δεῖν Turnebus: δοκεῖν δεῖ M

μή τι τλᾶις τὰν ἱκέτιν εἰσιδεῖν στρ. ε
ἀπὸ βρετέων βίαι δίκας ἀγομέναν
ἱππαδὸν ἀμπύκων,
πολυμίτων πέπλων τ᾽ ἐπιλαβὰς ἐμῶν.

ἴσθι γάρ· παισὶ τάδε καὶ δόμοις, ἀντ. ε
ὁπότερ᾽ ἂν κτίσηις, μένει· δεῖ 'κτίνειν
ὁμοίαν θέμιν.
τάδε φράσαι. δίκαια Διόθεν κρατεῖ.

Πε. καὶ δὴ πέφρασμαι, δεῦρο δ᾽ ἐξοκέλλεται·
ἢ τοῖσιν ἢ τοῖς πόλεμον αἴρεσθαι μέγαν
πᾶσ᾽ ἔστ᾽ ἀνάγκη· καὶ γεγόμφωται σκάφος,
στρέβλαισι ναυτικαῖσιν ὡς †προσηγμένον†·
ἄνευ δὲ λύπης οὐδαμοῦ καταστροφή.
καὶ χρήμασιν μὲν ἐκ δόμων πορθουμένων 443
< >
γένοιτ᾽ ἂν ἄλλα, κτησίου Διὸς χάριν, 445
ἄτης γε μείζω, καὶ μετεμπλῆσαι γόμον· 444
καὶ γλῶσσα τοξεύσασα μὴ τὰ καίρια, 446
ἀλγεινά, θυμοῦ κάρτα κινητήρια, 448
γένοιτο μύθου μῦθος ἂν θελκτήριος· 447
ὅπως δ᾽ ὅμαιμον αἷμα μὴ γενήσεται, 449
δεῖ κάρτα θύειν καὶ πεσεῖν χρηστήρια 450
θεοῖσι πολλοῖς πολλά, πημονῆς ἄκη.
ἦ κάρτα νείκους τοῦδ᾽ ἐγὼ παροίχομαι·
θέλω δ᾽ ἄιδρις μᾶλλον ἢ σοφὸς κακῶν
εἶναι· γένοιτο δ᾽ εὖ παρὰ γνώμην ἐμήν.
Χο. πολλῶν ἄκουσον τέρματ᾽ αἰδοίων λόγων.

428 τλᾶις (τλῆις) τὰν Turnebus: τλαίης τὰν M[s] (τλαίης Σ): τ᾽ ἀαΐσταν M 431 ἱππαδὸν H. Voss: ἱππηδὸν M[pc]: ἱππηδῶν M[ac] 432 πολυμίτων Turnebus: πολυμήτων M πέπλων τ᾽ ἐπιλαβὰς ἐμῶν M: τ᾽ ἐμῶν ἐπιλαβὰς πέπλων Friis Johansen 435 δεῖ 'κτίνειν Whittle (cf. Σ δίκαιόν ἐστιν ἀποδιδόναι): δρεικτίνειν Guelf.: δρεικτείνειν M 437 κρατεῖ Whittle: κράτη M 441 προσηγμένον M: πρὸς γῆι μένον Friis Johansen: πεπηγμένον Whittle 443 χρήμασιν M: χρημάτων M[s] in margine post 443 lacunam statuit Friis Johansen 445 ante 444 transp. anon. (ca. 1600) 444 ἄτης ... γόμον Σ: ἄτην ... γόμου M μετεμπλῆσαι Korais (fort. potius μετεκπλῆσαι): μέγ᾽ ἐμπλήσας M 448 ante 447 transp. idem anon. κάρτα M: κέντρα Hartung 447 θελκτήριος Guelf.: θελκτηρίοις M 449 ὅμαιμον Victorius (ὁμαῖμον M[s]): ὁμαίμων M

Πε. ἤκουσα, καὶ λέγοις ἄν· οὔ με φεύξεται.
Χο. ἔχω στρόφους ζώνας τε, συλλαβὰς πέπλων.
Πε. τάχ᾽ ἂν γυναικῶν ταῦτα συμπρεπῆ πέλοι.
Χο. ἐκ τῶνδε τοίνυν, ἴσθι, μηχανὴ καλή –
Πε. λέξον τίν᾽ αὐδὴν τήνδε γηρυθεῖσ᾽ ἔσηι.
Χο. εἰ μή τι πιστὸν τῶιδ᾽ ὑποστήσηι στόλωι –
Πε. τί σοι περαίνει μηχανὴ ξυζωμάτων;
Χο. νέοις πίναξι βρέτεα κοσμῆσαι τάδε.
Πε. αἰνιγματῶδες τοὖπος· ἀλλ᾽ ἁπλῶς φράσον.
Χο. ἐκ τῶνδ᾽ ὅπως τάχιστ᾽ ἀπάγξασθαι θεῶν.
Πε. ἤκουσα μαστικτῆρα καρδίας λόγον.
Χο. ξυνῆκας· ὠμμάτωσα γὰρ σαφέστερον.
Πε. †καὶ μὴν† πολλαχῆι γε δυσπάλαιστα πράγματα,
κακῶν δὲ πλῆθος ποταμὸς ὣς ἐπέρχεται·
ἄτης δ᾽ ἄβυσσον πέλαγος οὐ μάλ᾽ εὔπορον
τόδ᾽ εἰσβέβηκα, κοὐδαμοῦ λιμὴν κακῶν.
εἰ μὲν γὰρ ὑμῖν μὴ τόδ᾽ ἐκπράξω χρέος,
μίασμ᾽ ἔλεξας οὐχ ὑπερτοξεύσιμον·
εἰ δ᾽ αὖθ᾽ ὁμαίμοις παισὶν Αἰγύπτου σέθεν
σταθεὶς πρὸ τειχέων διὰ μάχης ἥξω τέλους,
πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρόν,
ἄνδρας γυναικῶν οὕνεχ᾽ αἱμάξαι πέδον;
ὅμως δ᾽ ἀνάγκη Ζηνὸς αἰδεῖσθαι κότον
ἱκτῆρος· ὕψιστος γὰρ ἐν βροτοῖς φόβος.
σὺ μέν, πάτερ γεραιὲ τῶνδε παρθένων,
< >
κλάδους τε τούτους αἶψ᾽ ἐν ἀγκάλαις λαβὼν
βωμοὺς ἐπ᾽ ἄλλους δαιμόνων ἐγχωρίων
θές, ὡς ἴδωσι τῆσδ᾽ ἀφίξεως τέκμαρ
πάντες πολῖται, μηδ᾽ ἀπορριφθῆι λόγος
ἐμοῦ κάτ᾽· ἀρχῆς γὰρ φιλαίτιος λεώς.

457 στρόφους Portus, Scaliger (cf. Σ στροφάς): στρόβους M 458 τάχ᾽ ἂν Marckscheffel: τύχαν M 459 καλή Bonon.[ac]: καλεῖ M 464 ἀλλ᾽ ἁπλῶς Abresch: ἀλλὰ πῶς M 466 μαστικτῆρα anon., cf. Σ δηκτικόν: μακιστῆρα M 468 καὶ μὴν M: ἦ Paley: καὶ Sulzberger, uersum ante 467 excidisse ratus a <καὶ μὴν ...> incipientem 471 εἰσβέβηκα (ἐσβ-) Spanheim: ἐσέβηκα M 474 ὁμαίμοις Turnebus: ὁμαίμους M 480/1 lacunam statuit Butler 485 ἐμοῦ κάτ᾽· ἀρχῆς Headlam: ἐμοῦ· καταρχῆς (κατ᾽ ἀρχῆς Guelf.) M

καὶ γὰρ τάχ' ἄν τις οἰκτίσας ἰδὼν τάδε
ὕβριν μὲν ἐχθήρειεν ἄρσενος στόλου,
ὑμῖν δ' ἂν εἴη δῆμος εὐμενέστερος·
τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει.
Δα. πολλῶν τάδ' ἡμῖν ἐστιν ἠξιωμένα,
αἰδοῖον †εὖ ῥέοντα† πρόξενον λαβεῖν·
ὀπάονας δὲ φράστοράς τ' ἐγχωρίων
ξύμπεμψον, ὡς ἂν τῶν πολισσούχων θεῶν
βωμοὺς προνάους καὶ †πολισσούχων† ἕδρας
εὕρωμεν, ἀσφάλεια δ' ἦι δι' ἄστεως
στείχουσι. μορφῆς δ' οὐχ ὁμόστολος φύσις·
Νεῖλος γὰρ οὐχ ὅμοιον Ἰνάχωι γένος
τρέφει. φύλαξαι μὴ θράσος τέκηι φόβον·
καὶ δὴ φίλον τις ἔκταν' ἀγνοίας ὕπο.
Πε. στείχοιτ' ἄν, ἄνδρες· εὖ γὰρ ὁ ξένος λέγει.
ἡγεῖσθε βωμοὺς ἀστικοὺς θεῶν θ' ἕδρας·
καὶ ξυμβολοῦσιν οὐ πολυστομεῖν χρεὼν
ναυστῆρ' ἄγοντας τόνδ' ἐφέστιον θεῶν.
Χο. τούτωι μὲν εἶπας, καὶ τεταγμένος κίει·
ἐγὼ δὲ πῶς δρῶ; ποῦ θράσος νεμεῖς ἐμοί;
Πε. κλάδους μὲν αὐτοῦ λεῖπε, σημεῖον πόνου.
Χο. καὶ δή σφε λείπω, χειρία λόγοις σέθεν.
Πε. λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε.
Χο. καὶ πῶς βέβηλον ἄλσος ἂν ῥύοιτό με;
Πε. οὔτοι πτερωτῶν ἁρπαγαῖς σ' ἐκδώσομεν.
Χο. ἀλλ' εἰ δρακόντων δυσφρόνων ἐχθίοσιν;
Πε. εὔφημον εἴη τοὔπος εὐφημουμένηι.
Χο. οὔτοι τι θαῦμα δυσφορεῖν φόβωι φρένας.
Πε. †ἀεὶ δ' ἀνάκτων† ἐστὶ δεῖμ' ἐξαίσιον.

486 οἰκτίσας ἰδὼν Linwood: οἶκτος εἰσιδὼν M 491 εὖρ' ἐόντα M: εὖ ῥέοντα $M^s$: εὖ ῥέζοντα Abresch: εὑρεθέντα Porson πρόξενον Canter: προσξένον M 494 πολισσούχων $M^{pc}$: πολισσούχους $M^{ac}$: περιστύλους Paley: alia alii 495 ἀσφάλεια δ' ἦι Turnebus: ἀσφαλείας δὲ M 501 ἀστικοὺς Turnebus: ἀστίκτους M θ' Abresch: om. M 502 ξυμβολοῦσιν Valckenaer, cf. Σ τοῖς συντυγχάνουσι: ξυμβόλοισιν M 503 ναυστῆρ' Wecklein: ναύτην M 504 κίει Portus: κίοι M 505 νεμεῖς Porson: νέμεις M 507 χειρία Valckenaer: χειρὶ καὶ M 508 ἐπιστρέφου Robortello: ἐπιστρέφω M 509 ἄλσος ἂν $M^s$: ἂν ἄλσος M 510 ἁρπαγαῖς Turnebus, σ' add. Porson: ἅρπαγες M 513 φρένας Bothe: φρενός M 514 ἀεὶ δ' M: ἀεί γ' Dindorf: λύειν Garvie ἀνάκτων M: ἀνάλκτων West: γυναικῶν Linwood: ἀνάτων Ludwig

Χο. σὺ καὶ λέγων μ' εὔφραινε καὶ πράσσων φρένα.
Πε. ἀλλ' οὔτι δαρὸν χρόνον ἐρημώσηι πατρός.
ἐγὼ δὲ λαοὺς ξυγκαλῶν ἐγχωρίους
†πιετω†, τὸ κοινὸν ὡς ἂν εὐμενὲς τιθῶ·
καὶ σὸν διδάξω πατέρα ποῖα χρὴ λέγειν.
πρὸς ταῦτα μίμνε καὶ θεοὺς ἐγχωρίους
λιταῖς παραιτοῦ τῶν σ' ἔρως ἔχει τυχεῖν.
ἐγὼ δὲ ταῦτα πορσυνῶν ἐλεύσομαι·
πειθὼ δ' ἕποιτο καὶ τύχη πρακτήριος.

Χο. ἄναξ ἀνάκτων, μακάρων στρ. α
μακάρτατε καὶ τελέων
τελειότατον κράτος, ὄλβιε Ζεῦ,
πιθοῦ τε καὶ γένει σῶι
ἄλευσον ἀνδρῶν ὕβριν εὖ στυγήσας·
λίμναι δ' ἔμβαλε πορφυροειδεῖ
τὰν μελανόζυγ' ἄταν.

τὸ πρὸς γυναικῶν δ' ἐπιδὼν ἀντ. α
παλαίφατον ἁμετέρου
γένους φιλίας προγόνου γυναικὸς
νέωσον εὔφρον' αἶνον·
γενοῦ πολυμνήστωρ, ἔφαπτορ Ἰοῦς.
Δῖαί τοι γένος εὐχόμεθ' εἶναι
γᾶς ἀπὸ τᾶσδ' ἐνοίκου.

παλαιὸν δ' εἰς ἴχνος μετέσταν, στρ. β
ματέρος ἀνθονόμους ἐπωπάς,
λειμῶνα βούχιλον, ἔνθεν Ἰὼ
οἴστρωι ἐρεσσομένα
φεύγει ἁμαρτίνοος,

515 μ' Friis Johansen: om. M φρένα Heath: φρενί M 516 ἐρημώσηι (-σει) πατρός Paley: ἐρημώσει πατήρ M 518 πιετω M[s] (518–20 omiserat M): πείσω Turnebus: στείχω Weil: κίω Zakas 519 ποῖα Par. 2886: τοῖα M[s] 522 πορσυνῶν Auratus: πορσύνων M 527 πιθοῦ Stanley, γένει σῶι Lobeck: πείθου ... γενέσθω M 529 λίμναι ... πορφυροειδεῖ M[pc]: λίμναν ... πορφυροειδῆ M[ac] 531 δ' Wecklein, Tucker: om. M 532–3 ἁμετέρου γένους Weil: ἁμέτερον γένος M 535 ἔφαπτορ Askew: ἐφάπτωρ M 536 Δῖαί Pauw: δίας M 537 ἐνοίκου Headlam: ἔνοικοι M

πολλὰ βροτῶν διαμειβομένα
φῦλα· †διχῆι† δ' ἀντίπορον
γαῖαν ἐν αἴσαι, διατέμνουσα πόρον
κυματίαν, ὁρίζει.

ἰάπτει δ' Ἀσίδος δι' αἴας ἀντ. β
μηλοβότου Φρυγίας διαμπάξ,
περᾶι δὲ Τεύθραντος ἄστυ Μυσῶν
Λύδιά τ' ἂγ γύαλα
καὶ δι' ὀρῶν Κιλίκων,
Παμφύλων τε διορνυμένα
γᾶν, ποταμούς τ' ἀενάους
καὶ βαθύπλουτον χθόνα, καὶ τὰν Ἀφροδί-
τας πολύπυρον αἶαν.

ἱκνεῖται δ', εἰσικνουμένου βέλει στρ. γ
βουκόλου πτερόεντος,
Δῖον πάμβοτον ἄλσος,
λειμῶνα χιονόβοσκον, ὅντ' ἐπέρχεται
Νείλου μένος
ὕδωρ τε Τυφῶ νόσοις ἄθικτον,
μαινομένα πόνοις ἀτί-
μοις ὀδύναις τε κεντροδα-
λήτισι, θυιὰς Ἥρας.

βροτοὶ δ' οἳ γᾶς τότ' ἦσαν ἔννομοι ἀντ. γ
χλωρῶι δείματι θυμὸν
πάλλοντ' ὄψιν ἀηθῆ,
βοτὸν †ἐσορῶντες† δυσχερὲς μειξόμβροτον,
τὰ μὲν βοός,
τὰ δ' αὖ γυναικός, τέρας δ' ἐθάμβουν.

547 δ' Ἀσίδος Turnebus: βασίδος M 549 Μυσῶν Scurial.: μουσῶν M: Μυσοῦ Newman 550 Λύδιά Turnebus, τ' ἂγ Hermann: λύγια τε M 552 τε Heath: τε γενη M 553 γᾶν Wecklein: τὰν M: γᾶς Burges τ' Portus: δ' M 554 τὰν Hermann: τᾶς M 556 εἰσικνουμένου M (˙χ˙ super κ scripto, -ου in ras.), quod legebat etiam Σ (διατρυπῶντος) 560–1 Νείλου ... Τυφῶ Friis Johansen: τυφῶ ... νείλου M 561 τε Pauw: τὸ M 563 κεντροδαλήτισι Erfurdt: κεντροδαλήτοις M 566 δείματι Par. 2886: δειμακτι M 568 ἐσορῶντες M (ὁρῶντες Σ 567): βλέποντες Paley: θεομανὲς Whittle μειξ- Wilamowitz: μιξ- M 569 τὰ Paley: τὰν M 570 τὰ Guelf.[ac], Hermann: τὰν M

καὶ τότε δὴ τίς ἦν ὁ θέλ-
ξας πολύπλαγκτον ἀθλίαν
οἰστροδόνητον Ἰώ;

δι᾽ αἰῶνος κρέων ἀπαύστου στρ. δ
< >
βίαι δ᾽ ἀπημαντοσθενεῖ
καὶ θείαις ἐπιπνοίαις
παύεται, δακρύων δ᾽ ἀπο-
στάζει πένθιμον αἰδῶ.
λαβοῦσα δ᾽ ἕρμα Δῖον ἀψευδεῖ λόγωι
γείνατο παῖδ᾽ ἀμεμφῆ,

δι᾽ αἰῶνος μακροῦ πάνολβον· ἀντ. δ
ἔνθεν πᾶσα βοᾶι χθών,
"φυσιζόου γένος τόδε
Ζηνός ἐστιν ἀληθῶς".
τίς γὰρ ἂν κατέπαυσεν Ἥ-
ρας νόσους ἐπιβούλους;
Διὸς τόδ᾽ ἔργον. καὶ τόδ᾽ ἂν γένος λέγων
ἐξ Ἐπάφου κυρήσαις.

τίν᾽ ἂν θεῶν ἐνδικωτέροισιν στρ. ε
κεκλοίμαν εὐλόγως ἐπ᾽ ἔργοις;
<αὐτὸς> πατὴρ φυτουργὸς αὐτόχειρ ἄναξ,
γένους παλαιόφρων μέγας
τέκτων, τὸ πᾶν μῆχαρ, οὔριος Ζεύς.

ὑπ᾽ ἀρχᾶς δ᾽ οὔτινος θοάζων ἀντ. ε
τὸ μεῖον κρεισσόνων κρατύνει·
οὔτινος ἄνωθεν ἡμένου σέβει κράτος.

571 τότε Stephanus: τόδε M 574 δι᾽ Burges: ζεὺσ M 575 lacunam indicauit Canter: <Ζεύς νιν χειρὶ κατέσχεν> Murray: <Ζεὺς κακῶν νιν ἔλυσεν> Mazon 576 βίαι (βία) M: Διὸς Pearson ἀπημαντοσθενεῖ Headlam: ἀπημάντω σθένει M 584 φυσιζόου Schütz: φυσίζοον M 584 τόδε Porson: τὸ δὴ M 592 <αὐτὸς> ante πατὴρ Sidgwick (αὐτὸς ὁ πατήρ Σ), post φυτουργὸς H. Voss: om. M 595 ἀρχᾶς M: ἀρχᾶι Blaydes 597 οὔτινος Laur.: οὔτινος M[ac]: ὅστινος M[pc] κράτος Heath: κάτω M: κράτη H. Voss

πάρεστι δ' ἔργον ὡς ἔπος
σπεῦσαι. τί τῶνδ' οὐ Διὸς φέρει φρήν;

Δα. θαρσεῖτε, παῖδες· εὖ τὰ τῶν ἐγχωρίων·
δήμου δέδοκται παντελῆ ψηφίσματα.
Χο. ὦ χαῖρε, πρέσβυ, φίλτατ' ἀγγέλλων ἐμοί·
ἔνισπε δ' ἡμῖν ποῖ κεκύρωται τέλος,
δήμου κρατοῦσα χεὶρ ὅπηι πληθύνεται.
Δα. ἔδοξεν Ἀργείοισιν, οὐ διχορρόπως,
ἀλλ' ὥστ' ἀνηβῆσαί με γηραίαι φρενί –
πανδημίαι γὰρ χερσὶ δεξιωνύμοις
ἔφριξεν αἰθὴρ τόνδε κραινόντων λόγον –
ἡμᾶς μετοικεῖν τῆσδε γῆς ἐλευθέρους
κἀρρυσιάστους ξύν τ' ἀσυλίαι βροτῶν,
καὶ μήτ' ἐνοίκων μήτ' ἐπηλύδων τινὰ
ἄγειν· ἐὰν δὲ προστιθῆι τὸ καρτερόν,
τὸν μὴ βοηθήσαντα τῶνδε γαμόρων
ἄτιμον εἶναι ξὺν φυγῆι δημηλάτωι.
τοιαῦτ' ἔπειθε ῥῆσιν ἀμφ' ἡμῶν λέγων
ἄναξ Πελασγῶν, Ζηνὸς ἱκεσίου κότον
μέγαν προφωνῶν, μήποτ' εἰσόπιν χρόνου
πόλει παχύναι, ξενικὸν ἀστικόν θ' ἅμα
λέγων διπλοῦν μίασμα πρὸς πόλεως φανὲν
ἀμήχανον βόσκημα πημονῆς πέλειν.
τοιαῦτ' ἀκούων χερσὶν Ἀργεῖος λεὼς
ἔκραν' ἄνευ κλητῆρος ὣς εἶναι τάδε·
δημηγόρους δ' ἤκουσεν εὐπειθὴς στροφὰς
δῆμος Πελασγῶν, Ζεὺς δ' ἐπέκρανεν τέλος.

599 σπεῦσαι. τί τῶνδ' οὐ Διὸς ... ; Keck: σπεῦσαί τι τῶν δούλιος M 603 ἔνισπε δ' Robortello: ἐνόσπερ M κεκύρωται Par. 2886: κεκύρτωται M 604 ὅπηι Portus, πληθύνεται Blomfield: οπληθύεται M 606 ἀνηβῆσαί με Musgrave, Tyrwhitt: ἂν ἡβήσαιμι M 610 κἀρρυσ- Turnebus: καρυσ- M 615 τοιαῦτ' Friis Johansen: τοιάνδ' M 616 Ζηνὸς ἱκεσίου Burges: ἱκεσίου ζηνὸς M 617 προφωνῶν Canter: πρόφρων ὢν M 618 πόλει Bothe, παχύναι Robortello duce $\Sigma^{M}$ (μήπως αὐξήσηι κότον ὁ Ζεύς): πόλιν παχῦναι M 619 πρὸς Bothe: πρὸ M 622 ἔκραν' ἄνευ κλητῆρος Turnebus, cf. Σ ἐπέκρανεν πρὶν εἰπεῖν τὸν κήρυκα: ἔκλαναν εὐκλήτορος M 623 εὐπειθὴς Bothe: εὐπειθεὶς $M^{pc}$: εὐπειθεῖς $M^{ac}$

Χο. ἄγε δή, λέξωμεν ἐπ' Ἀργείοις
εὐχὰς ἀγαθάς, ἀγαθῶν ποινάς·
Ζεὺς δ' ἐφορεύοι ξένιος ξενίου
στόματος τιμὰς ἐπ' ἀλητείας
τέρμονι †ἀμέμπτων πρὸς ἅπαντα†.

νῦν †ὅτε καὶ†, θεοὶ στρ. α
διογενεῖς, κλύοιτ' εὐκ-
ταῖα γένει χεούσας·
μήποτε πυρίφατον τάνδε Πελασγίαν
τὸν ἄκορον βοᾶς κτίσαι μάχλον Ἄρη,
τὸν ἀρότοις θερίζοντα βροτοὺς ἐν ἄλλοις,
οὕνεκ' ᾤικτισαν ἡμᾶς,
ψῆφον δ' εὔφρον' ἔθεντο,
αἰδοῦνται δ' ἱκέτας Διός,
ποίμναν τάνδ' ἀμέγαρτον.

οὐδὲ μετ' ἀρσένων ἀντ. α
ψῆφον ἔθεντ' ἀτιμώ-
σαντες ἔριν γυναικῶν,
Δῖον ἐπιδόμενοι πράκτορ' ἀείσκοπον
δυσπολέμητον, ὃν τίς ἂν δόμος ἔχων
ἐπ' ὀρόφων ἰαίνοιτο; βαρὺς δ' ἐφίζει.
ἅζονται γὰρ ὁμαίμους,
Ζηνὸς ἵκτορας ἁγνοῦ·
τοιγάρτοι καθαροῖσι βω-
μοῖς θεοὺς ἀρέσονται.

τοιγὰρ ὑποσκίων στρ. β
ἐκ στομάτων ποτάσ-
θω φιλότιμος εὐχά·
μήποτε λοιμὸς ἀνδρῶν

625 λέξωμεν Turnebus: λέξομεν M 628–9 ἐπ' ἀλητείας τέρμονι West: ἐπ' ἀληθείαι τέρμον' M 629 ἀμέμπτων (ἀμέμπτως Guelf.) πρὸς ἅπαντα M: πρὸς πάντας ἀμέμπτως (fort. potius ἀμέμπτους uel ἀμέμπτου) West 630 ὅτε καὶ M: ἄγε καὶ West: ὅπ' ἐμὰν Badham 634 τάνδε Lachmann: τὰν M Πελασγίαν Klausen: Πελασγίαν πόλιν M 635 ἄκορον Schwerdt, βοᾶς Kruse: ἀχόρον βοᾶν M 641 ἱκέτας M: ἱκετᾶν West 647 πράκτορ' ἀείσκοπον Kruse (π. ἀεὶ σκοπὸν Martin): πράκτοράτε σκοπὸν M 649 τίς Burges: οὔτις M 649–50 ἔχων ... ἰαίνοιτο Weil: ἔχοι ... μιαίνοντα M

τάνδε πόλιν κενώσαι,
μηδ' ἐπιχωρίοις < ⏑ – >
πτώμασιν αἱματίσαι πέδον γᾶς·
ἥβας δ' ἄνθος ἄδρεπτον
ἔστω, μηδ' Ἀφροδίτας
εὐνάτωρ βροτολοιγὸς Ἄ-
ρης κέρσειεν ἄωτον.

καὶ γεραροῖσι πρεσ- ἀντ. β
βυτοδόκοι †γεμόν-
των† θυμέλαι φλεόντων·
τὼς πόλις εὖ νέμοιτο,
Ζῆνα μέγαν σεβόντων,
τὸν ξένιον δ' ὑπερτάτως,
ὃς πολιῶι νόμωι αἶσαν ὀρθοῖ.
τίκτεσθαι δ' ἐφόρους γᾶς
ἄλλους εὐχόμεθ' αἰεί,
Ἄρτεμιν δ' Ἑκάταν γυναι-
κῶν λόχους ἐφορεύειν.

μηδέ τις ἀνδροκμὴς λοιγὸς ἐπελθέτω στρ. γ
τάνδε πόλιν δαΐζων,
ἄχορον ἀκίθαριν δακρυογόνον Ἄρη
βίαν τ' ἔνδημον ἐξοπλίζων.
νούσων δ' ἑσμὸς ἀπ' ἀστῶν
ἵζοι κρατὸς ἀτερπής·
εὐμενὴς δ' ὁ Λύκειος ἔσ-
τω πάσαι νεολαίαι.

660 τάνδε Faehse: τῶνδε M κενώσαι Turnebus: κενῶσαι M 661 <δόρυ> suppl. Mazon, <ἔρις> Heath 662 γᾶς Porson: τᾶς M 668 γεμόντων M: <θυηλαῖς>Schwerdt: γέμουσαι Kruse, retento infra φλεγόντων 669 φλεόντων Hermann: φλεγόντων M 670 πόλις Robortello, Turnebus: πόλεις M 671 Ζῆνα Bonon., μέγαν Ald.: ζῆν ἀμέγα M 672 ὑπερτάτως Σ: ὑπέρτατον M 673 ὃς Turnebus: ὡς M 677 λόχους Sophianus: λόγους M 681 ἄχορον Auratus: ἄχορος M: ἄχαριν Plut. *Mor.* 758f ἀκίθαριν Plut.: κίθαρις M 683 βίαν Hermann, τ' ἔνδημον (cf. Σ ἐμφύλιον) Pauw, ἐξοπλίζων Stanley: βοάν (βοήν Σ, βοᾶν $M^{ac}$) τε δῆμον ἔξω παίζων M: [, , , (. .)]τᾶ τε δῆμον ἐξοπλίζουσαν Plut. 684 δ' ἑσμὸς Turnebus: δεσμὸς M 686 Λύκειος Stanley: λύκιος M

καρποτελῆ δέ τοι Ζεὺς ἐπικραινέτω ἀντ. γ
φέρματι γᾶν πανώρωι·
πρόνομα δὲ βοτὰ τοῖς πολύγονα τελέθοι,
τὸ πᾶν τ᾽ ἐκ δαιμόνων θάλοιεν.
εὔφημον δ᾽ ἐπὶ βωμοῖς
μοῦσαν θείατ᾽ ἀοιδοί,
ἁγνῶν τ᾽ ἐκ στομάτων φερέσ-
θω φήμα φιλοφόρμιγξ.

φυλάσσοι τ᾽ εὖ τὰ τίμι᾽ ἀστοῖς στρ. δ
τὸ δάμιον, τὸ πτόλιν κρατύνει,
προμαθὶς εὐκοινόμητις ἀρχά·
ξένοισί τ᾽ εὐξυμβόλους,
πρὶν ἐξοπλίζειν Ἄρη,
δίκας ἄτερ πημάτων διδοῖεν.

θεοὺς δ᾽ οἳ γᾶν ἔχουσιν αἰεὶ ἀντ. δ
τίοιεν ἐγχώριοι πατρώιαις
δαφνηφόροις βουθύτοισι τιμαῖς·
τὸ γὰρ τεκόντων σέβας,
τρίτον τόδ᾽ ἐν θεσμίοις
Δίκας γέγραπται μεγιστοτίμου.

Δα. εὐχὰς μὲν αἰνῶ τάσδε σώφρονας, φίλαι·
ὑμεῖς δὲ μὴ τρέσητ᾽ ἀκούσασαι πατρὸς
ἀπροσδοκήτους τούσδε καὶ νέους λόγους.
ἱκεταδόκου γὰρ τῆσδ᾽ ἀπὸ σκοπῆς ὁρῶ
τὸ πλοῖον· εὔσημον γάρ· οὔ με λανθάνει
στολμός τε λαίφους καὶ παραρρύσεις νεὼς
καὶ πρῶιρα πρόσθεν ὄμμασιν βλέπουσ᾽ ὁδόν,
οἴακος εὐθυντῆρος ὑστάτου νεὼς
ἄγαν καλῶς κλύουσα, τὼς ἂν οὐ φίλη·

688 καρποτελῆ Portus: καρποτελεῖ M 691 βοτὰ Turnebus, τοῖς Wecklein: βρότατος M 693 θάλοιεν Hermann: λάθοιεν M 694 εὔφημον Turnebus: εὐφήμοις M 695 μοῦσαν θείατ᾽ Hermann: μοῦσαι θεαί τ᾽ M 698 τ᾽ εὖ τὰ τίμι᾽ ἀστοῖς Headlam: τ᾽ατιμίας (sscr. ἀσφαλίας) τιμὰς M: ἀμετακίνητοι εἶεν αὐτοῖς αἱ τιμαί Σ 700 προμαθὶς Hermann: προμηθεὺς (α supra η scripto) M 705 ἐγχώριοι Blaydes: ἐγχωρίους M[pc]: ἐγχωρίοις M[ac] 706 δαφνη- Par. 2886, -φόροις Schütz: δαφνοφόροισι (-σιν M[ac]) M 711 ὑμεῖς δὲ μὴ τρέσητ᾽ Turnebus: ἡμεῖς δὲ μῆτρες ἀεὶ M 715 στολμός Weil: στολμοί M 717 εὐθυντῆρος Turnebus: συνουτῆρος M

πρέπουσι δ' ἄνδρες νάϊοι μελαγχίμοις
γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν.
καὶ τἄλλα πλοῖα πᾶσά θ' ἡ 'πικουρία
εὔπρεπτος· αὐτὴ δ' ἡγεμὼν ὑπὸ χθόνα
στείλασα λαῖφος παγκρότως ἐρέσσεται.
ἀλλ' ἡσύχως χρὴ καὶ σεσωφρονισμένως
πρὸς πρᾶγμ' ὁρώσας τῶνδε μὴ ἀμελεῖν θεῶν.
ἐγὼ δ' ἀρωγοὺς ξυνδίκους θ' ἥξω λαβών·
ἴσως γὰρ ἂν κῆρύξ τις ἢ πρέσβη μόλοι,
ἄγειν θέλοντες, ῥυσίων ἐφάπτορες.
ἀλλ' οὐδὲν ἔσται τῶνδε· μὴ τρέσητέ νιν.
ὅμως δ' ἄμεινον, εἰ βραδυνοίμην βοῆι,
ἀλκῆς λαθέσθαι τῆσδε μηδαμῶς ποτε.
θάρσει· χρόνωι τοι κυρίωι τ' ἐν ἡμέραι
θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην.

Χο. πάτερ, φοβοῦμαι, νῆες ὡς ὠκύπτεροι — στρ. α
ἥκουσι· μῆκος δ' οὐδὲν ἐν μέσωι χρόνου.
περίφοβόν μ' ἔχει τάρβος, ἐτητύμως
πολυδρόμου φυγᾶς ὄφελος εἴ τί μοι·
παροίχομαι, πάτερ, δείματι.
Δα. ἐπεὶ τελεία ψῆφος Ἀργείων, τέκνα,
θάρσει· μαχοῦνται περὶ σέθεν, σάφ' οἶδ' ἐγώ.

Χο. ἐξῶλές ἐστι μάργον Αἰγύπτου γένος — ἀντ. α
μάχης τ' ἄπληστον· καὶ λέγω πρὸς εἰδότα.
δορυπαγεῖς δ' ἔχοντες κυανώπιδας
νῆας ἔπλευσαν ὧδ' ἐπικότωι τάχει
πολεῖ μελαγχίμωι ξὺν στρατῶι.
Δα. πολλοὺς δέ γ' εὑρήσουσιν ἐν μεσημβρινῶι
θάλπει βραχίον' εὖ κατερρινωμένους.

719 νάϊοι Dindorf: νήϊοι M 720 γυίοισι Scurial.: γύοισι M 726 θ' ἥξω Turnebus: θήξω M 727 γὰρ ἂν Burges: γὰρ ἢ M: γὰρ εἰ (sermone post 728 interrupto) Friis Johansen 729 τρέσητέ M[s]: τρέσαιτέ M 730 δ' Geel: om. M βραδυνοίμην Bowen: βραδύνοιμεν M 732 θάρσει Turnebus: θαρσεῖτε M κυρίωι in M dispexerunt plerique (idemque praebent apographa), κυρίαι autem West 740 ἐγώ Scurial.: ἐγών M 744 ἐπικότωι τάχει Weil: ἐπεὶ (ἐπὶ Laur.) τάχει κότω M 745 μελαγχίμωι Turnebus: μελαχείμω M ξὺν Porson: σὺν M 746 μεσημβρινῶι Bothe: μεσημβρίαι M 747 θάλπει βραχίον' Scurial.: θάλπτει βραχεῖον M κατερρινωμένους H. Voss: κατερρινημένους M

Χο. μόνην δὲ μὴ πρόλειπε, λίσσομαι, πάτερ· στρ. β
γυνὴ μονωθεισ' οὐδέν· οὐκ ἔνεστ' Ἄρης.
οὐλόφρονες δὲ καὶ δολιομήτιδες,
δυσάγνοις φρεσίν, κόρακες ὥστε, βω-
μῶν ἀλέγοντες οὐδέν.
Δα. καλῶς ἂν ἡμῖν ξυμφέροι ταῦτ', ὦ τέκνα,
εἰ σοί τε καὶ θεοῖσιν ἐχθαιροίατο.

Χο. οὐ μὴ τριαίνας τάσδε καὶ θεῶν σέβη ἀντ. β
δείσαντες ἡμῶν χεῖρ' ἀπόσχωνται, πάτερ.
περίφρονες δ' ἄγαν, ἀνιέρωι μένει
μεμαργωμένοι, κυνοθρασεῖς, θεῶν
οὐδὲν ἐπαΐοντες.
Δα. ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσους κυνῶν
εἶναι· βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν.

Χο. ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων
ὀργὰς ἐχόντων χρὴ φυλάσσεσθαι κράτος.
Δα. οὔτοι ταχεῖα ναυτικοῦ στρατοῦ στολὴ
οὔθ' ὅρμος, οὐδὲ πεισμάτων σωτηρίαν
εἰς γῆν ἐνεγκεῖν, οὐδ' ἐν ἀγκυρουχίαις
θαρσοῦσι ναῶν ποιμένες παραυτίκα,
ἄλλως τε καὶ μολόντες ἀλίμενον χθόνα
εἰς νύκτ' ἀποστείχοντος ἡλίου· φιλεῖ
ὠδῖνα τίκτειν νὺξ κυβερνήτηι σοφῶι.
οὕτω γένοιτ' ἂν οὐδ' ἂν ἔκβασις στρατοῦ
καλὴ πρὶν ὅρμωι ναῦς θρασυνθῆναι. σὺ δὲ
φρόνει μὲν ὡς ταρβοῦσα μὴ ἀμελεῖν θεῶν·
<ἐγὼ δὲ >

748 πρόλειπε Scurial.: πρόλιπε M 750 οὐλόφρονες Valckenaer: δουλόφρονες M δολιομήτιδες Askew: δολομήτιδες M 751 φρεσίν Laur.: φρεσσίν M 760 κρείσσους M[pc]: κρείσσων M[ac] 763 ὀργὰς ἐχόντων Dindorf: ἔχοντες ὀργὰς M 764 ταχεῖα Σ Guelf., στολὴ Turnebus: ταχεῖαι ... στολῆι M 765 οὔθ' West: οὐδ' M πεισμάτων Par. 2886, σωτηρίαν Guelf.[ac]: cf. Σ ἀντὶ π(ε)ίσματα σωτήρια: πισμάτων σωτηρίου M 768 ἄλλως τε Par. 2886: ἀλλ' ὥστε M 770 τίκτειν Turnebus: τίκτει M, Plut. *Mor.* 619e, 1090a 772 ναῦς Σ: ναῦν M 773/4 lacunam statuit Hartung

πράξας ἀρωγήν· ἄγγελον δ' οὐ μέμψεται
πόλις γέρονθ', ἡβῶντα δ' εὐγλώσσωι φρενί.

Χο. ἰὼ γᾶ βοῦνι, πάνδικον σέβας, στρ. α
τί πεισόμεσθα; ποῖ φύγωμεν Ἀπίας
χθονός, κελαινὸν εἴ τι κεῦθός ἐστί που;
μέλας γενοίμαν καπνὸς
νέφεσσι γειτονῶν Διός,
τὸ πᾶν δ' ἄφαντος ἀμπετὴς ἀιδνὸς ὡς
κόνις ἄτερθεν πτερύγων ὀλοίμαν.

ἀλυκτὸν δ' οὐκέτ' ἂν πέλοι κακόν· ἀντ. α
κελαινόχρων δὲ πάλλεται φίλον κέαρ.
πατρὸς σκοπαὶ δέ μ' εἷλον· οἴχομαι φόβωι
θέλοιμι δ' ἂν μορσίμων
βρόχου τυχεῖν ἐν σαργάναις
πρὶν ἄνδρ' ἀπευκτὸν τῶιδε χριμφθῆναι χροΐ·
πρόπαρ θανούσας δ' Ἀΐδας ἀνάσσοι.

πόθεν δέ μοι γένοιτ' ἂν αἰθέρος θρόνος, στρ. β
πρὸς ὧι χιὼν ὑδρηλὰ γίγνεται νέφη,
ἢ λισσὰς αἰγίλιψ ἀπρόσ-
δεικτος οἰόφρων κρεμὰς
γυπιὰς πέτρα, βαθὺ
πτῶμα μαρτυροῦσά μοι,
πρὶν δαΐκτορος βίαι
καρδιᾶς γάμου κυρῆσαι;

κυσὶν δ' ἔπειθ' ἕλωρα κἀπιχωρίοις ἀντ. β
ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν·

776 βοῦνι Dindorf, πάνδικον Paley (cf. Σ ἣν δικαίως πάντες τιμῶσιν): βουνῖτι ἔνδικον M 780 νέφεσσι Arnaldus: νέφεσι M 782 ἀμπετὴς Hermann, ἀιδνὸς ὡς Kirchhoff (ἄιστος ὡς Haupt): ἀμπετησαισδόσωσ M 784 ἀλυκτὸν Hermann: ἄφυκτον M 784 κακόν Schütz: κέαρ M (cf. 785) 785 κελαινό- Lachmann, -χρων Schwerdt: μελανόχρως M φίλον κέαρ Schwerdt; μου καρδία M 786 πατρὸς σκοπαὶ Victorius: πατροσκοπαι M 787 μορσίμων Schütz: μορσίμου M 788 σαργάναις M[pc]: ἀργάναις M[ac]: ἀρτάναις Par. 2886 790 τῶιδε (τῶδε) Arsenius, χριμφθῆναι Guelf., χροΐ Scurial.: τῶδ' ἐχριμφθῆν χροῖν M 793 ὧι Portus: ὃν M χιὼν ὑδρ. γίγνεται νέφη Porson: νέφη δ' ὑδρ. γείνεται χιὼν M 800 κυσὶν Par. 2886: κύσειν M 801 δεῖπνον Guelf.: δείπναν M

ὁ γὰρ θανὼν ἐλευθεροῦ-
ται φιλαιάκτων κακῶν.
ἐλθέτω μόρος πρὸ κοί-
τας γαμηλίου τυχών.
ἀμφυγᾶς τίν' ἔτι πόρον
τέμνω γάμου λυτῆρα;

ἰύζετ' ὀμφάν, οὐράνια στρ. γ
λιτανὰ θεοῖσι καὶ <θεαῖς> –
τέλεα δὲ πῶς πελόμενά μοι;
†λύσιμα μάχιμα δ'† ἔπιδε, πάτερ,
βίαια μὴ φίλοις ὁρῶν
ὄμμασιν, ἐνδίκως· σεβί-
ζου δ' ἱκέτας σέθεν, γαι-
άοχε παγκρατὲς Ζεῦ.

γένος γὰρ Αἰγύπτιον ὕβρει ἀντ. γ
δύσφορον < ⏑ – > ἀρσενογενεῖ·
μετά με δρόμοισι διόμενοι
φυγάδα μάταισι πολυθρόοις
βίαια δίζηνται λαβεῖν.
σὸν δ' ἐπίπαν ζυγὸν ταλάν-
του· τί δ' ἄνευ σέθεν θνα-
τοῖσι τέλειόν ἐστιν;

ΑΙΓΥΠΤΙΟΙ

ὅ ὅ ὅ, ἅ ἅ ἅ·
ὅδε μάρπτις [

802 ὁ ... θανὼν Hartung: τὸ ... θανεῖν M 804 ἐλθέτω Pauw: ἐλθέτω ἐλθέτω M 806 ἀμφυγᾶς Weil, τίν' huc transp. Headlam: τίν' ἀμφ'αυτᾶς M 807 λυτῆρα Pauw: καὶ λυτήρια M 808 ἰύζετ' Page: ἴυζευ δ' M οὐράνια Friis Johansen: οὐράνια μέλη M 809 θεαῖς add. Bamberger 810 πῶς (πως) Burney: μοι πῶς M 811 λύσιμα μάχιμα δ' M (λύσιμα τῶν κακῶν et ἀτάραχα interpr. Σ): λύσιμά μ' ἄχιμά τ' Friis Johansen (partim praeeunte Wilamowitz): λύσιμά μ' (λυσίγαμ' Headlam, λυσίκακ' West) ἄχειμ' Weil 812 φίλοις Lachmann: φιλεῖς M 813 ἐνδίκως Peiper: ἐνδίκοις M 817 ὕβρει Bothe: ὕβριν M 818 lacunam statuit Page: <ἄγαν> suppl. idem, <ἔπεισ'> Friis Johansen ἀρσενογενεῖ Page: ἀρσενογενὲς M 823 τί δ' ἄνευ Robortello, Turnebus: πιδανευ M 823–4 θνατοῖσι Bothe: θνατοῖς M 826 μάρπτις Turnebus: μάρπτυς Hesychius μ316: μάρπις M

νάϊος [
γάϊος [
Χο. τῶν πρό, μάρπτι, †κάμνοις†.
ἰόφ[
ομ[
Αι. αὖθι καββασ[
Χο. νυ[ν εἰ]δυῖ' ἰὰν ἀμφαίνω·
ὁρῶ †τάδε φροίμια πράξαν† πόνων βιαίων †ἐμῶν†.
ἠέ· ἠέ·
βαῖνε φυγᾶι πρὸς ἀλκάν.
< > βλοσυρόφρονα χλιδᾶι,
δύσφορα ναῒ κὰν γᾶι.
γάϊ' ἄναξ, προτάσσου.

Αι. σοῦσθε σοῦσθ' ἐπὶ βᾶριν ὅπως ποδῶν.
οὔκουν οὔκουν τιλμοὶ τιλμοὶ καὶ στιγμοί,
πολυαίμων φόνιος ἀποκοπὰ κρατός;
σοῦσθε σοῦσθ' †ὀλύμεναι ὀλόμεν'† ἐπ' ἀμᾶδα.

Χο. εἴθ' ἀνὰ πολύρυτον στρ. α
ἁλμάεντα πόρον
δεσποσίωι ξὺν ὕβρει
γομφοδέτωι τε δόρει διώλου.

826–826b spatium maius solito ante νάϊοσ et γάϊοσ reliquit M: initia trium uersuum mutilorum agnouit West (similiter, mutatis mutandis, in 827–827a, 828–9, 830, 831–2, 833–4) 827 πρό, μάρπτι Victorius, cf. Σ πρότερον θάνοις, ὦ μάρπτι, πρὶν ἡμᾶς συλλαβεῖν: πρόμαρπτι M κάμνοις M (per θάνοις interpretatur Σ): κάμοις Italie, per incuriam ut uidetur: fort. e.g. κάμοις <σύ> 827a ἰόφ M, interiectio (ἀποπτυσμοῦ μίμημα) secundum Σ: ἰοφ[όρος] (uel aliam formam eius uocabuli) tent. Friis Johansen et Whittle 828 discerni non potest utrum Danaidibus continuandum sit an Aegyptiis tribuendum 828a καββὰς Stanley, καββᾶσ[α] Friis Johansen: κάκκας M 829 νῦ[ν] suppl. Paley [εἰ]δυῖ' ἰὰν West: ]δυϊαν βοᾶν M: οὐκέτι παρὰ τοῦ πατρὸς ἀκούσασα, ἀλλ' αὐτόπτης γενομένη βοῶ Σ 830 sic M: tacet Σ: fort. e.g. ὁρῶ φροίμιον πράξαντας πόνων βιαίων ἐμοί 833 lacunam statuit Wilamowitz: <κνώδαλα γὰρ τάδε> e.g. West 835 γάϊ' Ellis: γᾶι M: γᾶς Peiper 842 ὀλύμεναι M: ὀλόμεναι Turnebus ὀλόμεν' M: del. Robortello 842, 847 ἐπ' ἀμᾶδα West (ἐπ' ἀμάδα Schütz): ἐπαμίδα M 843 πολύρυτον Wellauer: πολύρρυτον M 844 ἁλμάεντα West: ἁλμήεντα M 846 δόρει Hermann: δορὶ M

Αι. δίαιμον ἔσω σ' ἐπ' ἀμᾶδα.
†ησυδουπια τάπιτα†
κελεύω βοᾶς μεθέσθαι· <⏑ –>
ἶχαρ φρενί †τ' ἄταν†.
†ἰὼ ἰὸν† <          >
λεῖφ' ἕδρανα, κί' εἰς δόρυ,
ἀτίετ' ἀνὰ πόλιν εὐσεβῶν.

Χο. μήποτε πάλιν ἴδοις ἀντ. α
ἀλφεσίβοιον ὕδωρ,
ἔνθεν ἀεξόμενον
ζώφυτον αἷμα βροτοῖσι θάλλει.

Αι. †ἄγειος ἐγὼ βαθυχαῖος
βαθρείας βαθρείας γέρον†.
σὺ δ' ἐν ναΐ ναΐ βάσηι τάχα,
θέλεος ἀθέλεος.
βίαι βιᾶται πολλά· φροῦδα <– ⏑ –>.
βᾶτε †βαθυμιτροκακὰ παθῶν
ὀλόμεναι παλάμαις†.

Χο. αἰαῖ, αἰαῖ· στρ. β
εἰ γὰρ δυσπαλάμως ὄλοιο
δι' ἁλίρρυτον ἄλσος
κατὰ Σαρπηδόνιον χῶμα πολύψαμμον ἀλαθεὶς
Συρίαισιν αὔραις.

847 δίαιμον Weil, ἔσω σ' Paley (ἡιμαγμένον σε καθίζω Σ): αἵμονεσώσ M ἐπ' ἀμᾶδα: uide ad 842 848 sic M (ἀπιόντα κατὰ συγκοπήν Σ): fort. ἦ (Donaldson) σὺ δουπιᾶις; (H. Voss) ἀπιτέα (Weil) 849 βοᾶς Rogers: βία M <σβέσον> suppl. West 850 τ' ἄταν M: γ' ἄσαν West 852 ἕδρανα Robortello: ἵδρανα M 854 ἴδοις Maas (εἴδοις Scaliger): ειδοι M 856 ἀεξόμενον Portus, Scaliger: δεξόμενον M 859 sic M: ἄρειος ἐγὼ βαθύχαος West 860 sic M: ἀρχέτας (possis etiam δεσπότας) βαρειᾶν χερῶν West 861 δ' ἐν Burges: δὲ M 863 βιᾶται πολλά West: βίαι τε πολλᾶι M <δὴ τὰ σά> e.g. suppl. West 864 βᾶτε Stanley: βάτεαι M 864–5 sic M: βαθυμίτρων κακὰ | ὀλόμεν' ἀπάλαμα παρθένων e.g. West 867 εἰ Heath: καὶ M: αἲ Weil 870 πολύψαμμον Burges: πολυψάμαθον M 871 Συρίαισιν Badham: εὐρείαις εἰν M

ΚΗΡΥΞ

βαίνειν κελεύω βᾶριν εἰς ἀμφίστροφον 882
ὅσον τάχιστα· μηδέ τις σχολαζέτω.
ὁλκὴ γὰρ οὔτι πλόκαμον οὐδάμ' ἅζεται. 884

Χο. οἰοῖ οἰοῖ· 876 ἀντ. β
λύμας εἴθ' ὑπὸ γᾶι σὺ λάσκοις.
†περιχαμπτὰ βρυάζεις
ὃς ἐρωτᾶς† ὁ μέγας Πότμος ὑβρίζοντ' ἐπιτρίψει- 880
 εν ἄητον ὕβριν. 881

Κη. ἴυζε καὶ λάκαζε καὶ κάλει θεούς· 872
Αἰγυπτίαν γὰρ βᾶριν οὐχ ὑπερθορῆι. 873
†πικρότερ' ἀχέων οἰζύος ὄνομ' ἔχων†. 875

Χο. οἰοῖ, πάτερ, βρέτεος ἄρος 885 στρ. γ
ματᾶι· <βίαι δέ> μ' ἅλαδ' ἄγει
ἄραχνος ὣς βάδην,
ὄναρ ὄναρ μέλαν.
ὀτοτοτοτοῖ·
μᾶ Γᾶ, μᾶ Γᾶ, †βοᾶν† 890
φοβερὸν ἀπότρεπε·
ὦ πᾶ, Γᾶς παῖ, Ζεῦ.

Κη. οὔτοι φοβοῦμαι δαίμονας τοὺς ἐνθάδε·
οὐ γάρ μ' ἔθρεψαν, οὐδὲ γηράσω τροφῆι.

Χο. μαιμᾶι πέλας δίπους ὄφις· 895 ἀντ. γ
ἔχιδνα δ' ὥς με [

882–4 et 872–5 inter se transp. Oberdick 882 ἀμφίστροφον ˡΣᴹ, *Etym. Gud.* 261.23–4 de Stefani: ἀντίστροφον M 883 ὅσον Scurial.: ὅρον M μηδέ τις Turnebus: μηδέτι M 884 οὔτι Par. 2886: οὔτοι M 876 οἰοῖ οἰοῖ Hermann: οἶ οἶ οἶ οἶ οἶ M 877 εἴθ' ὑπὸ γᾶι σὺ λάσκοις Friis Johansen: ισύπρογασυλάσκει (sscr. οι) M 878–9 sic M: locus desperatus 880 Πότμος ὑβρίζοντ' West: νεῖλος ὑβρίζοντα σε M 880–1 ἐπιτρίψειεν Portus, ἄητον (ἄατον) Friis Johansen: ἀπὸ τρέψει ἔναιστον M {874} ἴυζε καὶ βόα M: del. Hermann 875 sic M: fort. e.g. πικρότερον (Emperius) ἀχήσεις (West) <τάχ'> (addidi) οἰζύος νόμον (Burges) 885 βρέτεος ἄρος Abresch, cf. Σ ἡ τῶν βρετέων ἐπικουρία: βρότεος ἄρος Eustathius ad *Od.* 1.346: βροτιοσαρος M 886 ματᾶι Bamberger, <βίαι δέ> West, μ' ἅλαδ' ἄγει Musgrave: αταιμαλδαάγει M (ἄτα Eustathius: ἀτᾶι legebat Σ (βλάπτει)) 890, 900 βοᾶν M: βοὰν Pauw: βίαν Rogers 892, 902 πᾶ H. Voss (noluerat Pauw), cf. Σ ὦ πάτερ: βᾶ M 894 γηράσω West: γήρασαν M 896–8 spatia uacua post singula frustula reliquit M: ἔχιδνα δ' ὥς με [προσβλέπει.] τί ποτ' ἔν[ανθ' ὁρῶ] δάκος; ἄχ[ος μ' ἔχει] e.g. West

τί ποτ᾽ ἐν[
δάκος ἀχ[
ὀτοτοτοτοτοῖ·
μᾶ Γᾶ, μᾶ Γᾶ, †βοᾶν†
φοβερὸν ἀπότρεπε·
ὦ πᾶ, Γᾶς παῖ, Ζεῦ.
Κη. εἰ μή τις εἰς ναῦν εἶσιν αἰνέσας τάδε,
λακὶς χιτῶνος ἔργον οὐ κατοικτιεῖ.

Χο. διωλόμεσθ᾽· ἄεπτ᾽, ἄναξ, πάσχομεν. 908 στρ. δ
Κη. πολλοὺς ἄνακτας, παῖδας Αἰγύπτου, τάχα 906
ὄψεσθε· θαρσεῖτ᾽, οὐκ ἐρεῖτ᾽ ἀναρχίαν. 907

Χο. ἰὼ πόλεως ἀγοὶ πρόμοι, δάμναμαι. 905 ἀντ. δ
Κη. ἕλξειν ἔοιχ᾽ ὑμᾶς ἐπισπάσας κόμης, 909
ἐπεὶ οὐκ ἀκούετ᾽ ὀξὺ τῶν ἐμῶν λόγων. 910

Πε. οὗτος, τί ποιεῖς; ἐκ ποίου φρονήματος
ἀνδρῶν Πελασγῶν τήνδ᾽ ἀτιμάζεις χθόνα;
ἀλλ᾽ ἦ γυναικῶν εἰς πόλιν δοκεῖς μολεῖν;
κάρβανος ὢν Ἕλλησιν ἐγχλίεις ἄγαν
καὶ πόλλ᾽ ἁμαρτὼν οὐδὲν ὤρθωσαι φρενί.
Κη. τί δ᾽ ἠμπλάκηται τῶνδ᾽ ἐμοὶ δίκης ἄτερ;
Πε. ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι.
Κη. πῶς δ᾽ οὐχί; τἄμ᾽ ὀλωλόθ᾽ εὑρίσκων ἄγω.
Πε. ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις;
Κη. Ἑρμῆι, μεγίστωι προξένων, μαστηρίωι.
Πε. θεοῖσιν εἰπὼν τοὺς θεοὺς οὐδὲν σέβηι.
Κη. τοὺς ἀμφὶ Νεῖλον δαίμονας σεβίζομαι.
Πε. οἱ δ᾽ ἐνθάδ᾽ οὐδέν, ὡς ἐγὼ σέθεν κλύω.

900–2 uide ad 890–2 905 et 908 inter se transp. Wilamowitz (906–7 et 909–10 autem transposuerat Heath) 908 -μεσθ᾽· ἄεπτ᾽, ἄναξ Ahrens: -μεσθα ἐπτάναξ M 907 θαρσεῖτ᾽, οὐκ ἐρεῖτ᾽ ἀν- Robortello: θάρσει τοῦ χερεῖ ταν- M 905 πρόμοι Portus: πρόμνοι M 909 ἐπισπάσας Pierson: ἀπο σπάσας M 910 οὐκ ἀκούετ᾽ ὀξὺ Porson: οὐ κακοῦ ἔξυ M 914 ὢν Turnebus: δ᾽ ὢν M 915 ὤρθωσαι Whittle (cf. Σ εἰς ορθὴν ἦλθες), φρενί Guelf.: ὤρθωσα φρενεὶ M 918 τἄμ᾽ ὀλωλόθ᾽ … ἄγω Porson: τ᾽ἀπολωλόθ᾽ … ἐγώ M 919 προξένοις Victorius: προσξένοις M 920 προξένων Wilamowitz: προξένω M 923 κλύω Scurial. in margine: κάτω M

Κη. ἄγοιμ' ἄν, εἴ τις τάσδε μὴ 'ξαιρήσεται.
Πε. κλαίοις ἄν, εἰ ψαύσειας, οὐ μάλ' εἰς μακράν.
Κη. ἤκουσα· τοὔπος δ' οὐδαμῶς φιλόξενον.
Πε. οὐ γὰρ ξενοῦμαι τοὺς θεῶν συλήτορας.
Κη. λέγοιμ' ἂν ἐλθὼν παισὶν Αἰγύπτου τάδε.
Πε. ἀβουκόλητον τοῦτ' ἐμῶι φρονήματι.
Κη. ἀλλ' ὡς ἂν εἰδὼς ἐννέπω σαφέστερον –
καὶ γὰρ πρέπει κήρυκ' ἀπαγγέλλειν τορῶς
ἕκαστα – πῶς φῶ πρὸς τίνος τ' ἀφαιρεθεὶς
ἥκειν γυναικῶν αὐτανέψιον στόλον;
οὔτοι δικάζει ταῦτα μαρτύρων ὕπο
Ἄρης, τὸ νεῖκος δ' οὐκ ἐν ἀργύρου λαβῆι
ἔλυσεν, ἀλλὰ πολλὰ γίγνεται πάρος
πεσήματ' ἀνδρῶν κἀπολακτισμοὶ βίου.
Πε. τί σοι λέγειν χρὴ τοὔνομ'; ἐν χρόνωι μαθὼν
εἴσηι σύ τ' αὐτὸς χοὶ ξυνέμποροι σέθεν.
ταύτας δ' ἑκούσας μὲν κατ' εὔνοιαν φρενῶν
ἄγοις ἄν, εἴπερ εὐσεβὴς πίθοι λόγος·
< >
τοιάδε δημόπρακτος ἐκ πόλεως μία
ψῆφος κέκρανται, μήποτ' ἐκδοῦναι βίαι
στόλον γυναικῶν. τῶνδ' ἐφήλωται τορῶς
γόμφος διαμπάξ, ὡς μένειν ἀραρότως.
ταῦτ' οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα
οὐδ' ἐν πτυχαῖς βύβλων κατεσφραγισμένα,
σαφῆ δ' ἀκούεις ἐξ ἐλευθεροστόμου
γλώσσης. κομίζου δ' ὡς τάχιστ' ἐξ ὀμμάτων.
Κη. σοὶ μὲν τόδ' ἡδύ, πόλεμον αἴρεσθαι νέον·
εἴη δὲ νίκη καὶ κράτος τοῖς ἄρσεσιν.
Πε. ἀλλ' ἄρσενάς τοι τῆσδε γῆς οἰκήτορας
εὑρήσετ', οὐ πίνοντας ἐκ κριθῶν μέθυ.
ὑμεῖς δὲ πᾶσαι ξὺν φίλοις ὀπάοσιν

925 κλαίοις ... οὐ Robortello: κλάεις (sscr. οι) ... οὐδὲ M 926 δ' Headlam: om. M 928 λέγοιμ' Heath: λέγοις M 931 ἀπαγγέλλειν Guelf.: ἀπαγγελεῖν M 937 βίου M: βίων Plut. *Mor.* 517f, 937f 939 εἴσηι σύ τ' αὐτὸς χοὶ Bothe: εἰσθιγαυτοσχοιϊ M (γ' αὐτόσ χ' οἱ γρM[s]) 941 λόγος Turnebus: λόγοις M post 941 lacunam statuit Hartung: <ἐὰν δὲ μὴ θέλωσιν, οὐκ ἐκδώσομεν> e.g. Bowen 944 τῶνδ' ἐφήλωται τορῶς Turnebus: τῶνδε φιλωταὶ τορῶ M 947 βύβλων Scurial.: βίβλων M 950 σοὶ μὲν τόδ' ἡδύ Hermann: ἴσθι μὲν τάδ' ἤδη M αἴρεσθαι Porson: ἐρεισθε (ει ex ι correctum) M 951 κράτος Nauck, Weil: κράτη M 954 ξὺν Porson: σὺν M

θράσος λαβοῦσαι στείχετ' εὐερκῆ πόλιν 955
πύργων βαθείαι μηχανῆι κεκλῃμένην.
καὶ δώματ' ἐστὶ πολλὰ μὲν τὰ δήμια, 957
ἔνθ' ἔστιν ὑμῖν εὐτύκους ναίειν δόμους 959
πολλῶν μετ' ἄλλων. εἰ δέ τις μείζων χάρις, 960
πάρεστιν οἰκεῖν καὶ μονορρύθμους δόμους, 961
δεδωμάτωμαι δ' οὐδ' ἐγὼ σμικρᾶι χερί. 958
τούτων τὰ λῷστα καὶ τὰ θυμηδέστατα – 962
πάρεστι – λωτίσασθε. προστάτης δ' ἐγὼ
ἀστοί τε πάντες, ὧνπερ ἥδε κραίνεται
ψῆφος. τί τῶνδε κυριωτέρους μένεις; 965

Χο. ἀλλ' ἀντ' ἀγαθῶν ἀγαθοῖσι βρύοις,
δῖε Πελασγῶν.
πέμψον δὲ πρόφρων δεῦρ' ἡμέτερον
πατέρ' εὐθαρσῆ Δαναόν, πρόνοον
καὶ βούλαρχον· τοῦ γὰρ προτέρα 970
μῆτις, ὅπου χρὴ δώματα ναίειν 971
ξύν τ' εὐκλείαι καὶ ἀμηνίτωι 975
βάξει λαῶν ἐγχώρων· 976
< >
καὶ τόπος εὔφρων, πᾶς τις ἐπειπεῖν 972
ψόγον ἀλλοθρόοις 973
εὔτυκος. εἴη δὲ τὰ λῷστα. 974
{τάσσεσθε, φίλαι δμωΐδες, οὕτως 977
ὡς ἐφ' ἑκάστηι διεκλήρωσεν
Δαναὸς θεραποντίδα φερνήν.}

*<excidit (uel potius excisum est) canticum chori cum prooemio, ut uidetur, anapaestico>*

958 post 961 transp. Burges 959 ἔνθ' ἔστιν ὑμῖν Weil, εὐτύκους Porson: εὐθυμεῖν ἔστιν ἐντυχούση M δόμους Turnebus: δόμοις M 961 μονορρύθμους Scurial.: μονορύθμους M 963 λωτίσασθε Canter: λωτίσασθαι M 966 ἀγαθοῖσι Porson: ἀγαθοῖς M 975–6 post 971 transponi posse monuit West 976 ἐγχώρων Par. 2886, Zakas: ἐν χώρωι M: <τῶν> ἐγχώρων Hermann ante 972 lacunam statuendam esse, etsi transponerentur 975–6, monuit West (lacunam inter 971 et 972 statuerat Page) 972 καὶ M: κεἰ Schwerdt 974 εὔτυκος Spanheim: εὔτυκτοσ M[s]: εὖ τύκτος M 977–9 del. Reinkens: uersus ex *Aegyptiis* uel *Danaidibus* huc tralatos esse coni. Taplin

Δα. ὦ παῖδες, Ἀργείοισιν εὔχεσθαι χρεὼν
θύειν τε λείβειν θ', ὡς θεοῖς Ὀλυμπίοις,
σπονδάς, ἐπεὶ σωτῆρες οὐ διχορρόπως.
καί μου τὰ μὲν πραχθέντα πρὸς τοὺς ἐγγενεῖς
φίλως, πικρῶς δ' ἤκουσαν αὐτανεψίοις·
ἐμοὶ δ' ὀπαδοὺς τούσδε καὶ δορυσσόους
ἔταξαν, ὡς ἔχοιμι τίμιον γέρας,
καὶ μήτ' ἀέλπτως δορικανεῖ μόρωι θανὼν
λάθοιμι, χώραι δ' ἄχθος αἰείζων πέλοι,
<μήτ'
τιμιωτέραν ἐμοῦ.>
τοιῶνδε τυγχάνοντας ἐκ πρυμνῆς φρενὸς
χάριν σέβεσθαι †τιμιωτέραν ἐμοῦ†.
καὶ τοῦτο μὲν γράψασθε πρὸς γεγραμμένοις
πολλοῖσιν ἄλλοις σωφρονίσμασιν πατρός,
ἀγνῶθ' ὅμιλον ὡς ἐλέγχεται χρόνωι·
πᾶς δ' ἐν μετοίκωι γλῶσσαν εὔτυκον φέρει
κακήν, τό τ' εἰπεῖν εὐπετὲς μύσαγμά πως.
ὑμᾶς δ' ἐπαινῶ μὴ καταισχύνειν ἐμέ,
ὥραν ἐχούσας τήνδ' ἐπίστρεπτον βροτοῖς.
τέρειν' ὀπώρα δ' εὐφύλακτος οὐδαμῶς·
θῆρες δὲ κηραίνουσι καὶ βροτοί· τί μήν;
καὶ κνώδαλα πτεροῦντα καὶ πεδοστιβῆ
καρπώματα στάζοντα κηρύσσει Κύπρις
†κάλωρακωλύουσανθ† ὡς μαίνειν ἔρωι,
καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι
πᾶς τις παρελθὼν ὄμματος θελκτήριον

ante 980 multa excidisse uel excisa esse censuit Taplin  983 ἐγγενεῖς Heath: ἐκτενεῖς M  984 φίλως M' sscr.: φίλου M  δ' Rogers: om. M  αὐτ- Par. 2886, -ανεψίοις Scaliger: ἀτανεψίους M  985 ἐμοὶ δ' Par. 2886: ἐμοὺδ' (δ ex σ factum) M  987 δορικανεῖ μόρωι Porson: δόρυκ' ἀνημέρωι M  988/9 lacunam statuit et <μήτ'> suppleuit Paley: < ... τιμιωτέραν ἐμοῦ> huc ex 990 traduxit West  989 ἐκ πρυμνῆς Portus: εὐπρυμνῆ M  990 τιμιωτέραν ἐμοῦ M: τιμίαν ἡμᾶς (ἥμας) χρεών e.g. West (possis etiam τιμίαν αὐτοῖς χρεών)  991 τοῦτο Sommerstein: ταῦτα M  γράψασθε Auratus, πρὸς γεγ- Victorius, -μένοις Robortello: γράψεσθε προσγεγραμμένους M  993 ὅμιλον M^s: ὅμιλος M  ἐλέγχεται Musgrave: ἐλέγχεσθαι M  994 εὔτυκον Spanheim: εὔτυχον M  999 θῆρες δὲ M: θῆρές σφε Martin  τί μήν; Guelf.: τιμὴν M  1000 πεδοστιβῆ Robortello: παιδοστιβῆ M  1002 κάλωρα κωλύουσαν θωσμένην (sscr. -ειν) ἐρῶ M: ὡς μαίνειν ἔρωι West, qui pro initio uersus κἄωρα μωλύουσ' ἅμ' coniecit (desiderauerim egomet 'mares stimulans')

τόξευμ' ἔπεμψεν, ἱμέρου νικώμενος.
πρὸς ταῦτα μὴ πάθωμεν ὧν πολὺς πόνος,
πολὺς δὲ πόντος οὕνεκ' ἠρόθη δορί,
μηδ' αἶσχος ἡμῖν, ἡδονὴν δ' ἐχθροῖς ἐμοῖς
πράξωμεν. οἴκησις δὲ καὶ διπλῆ πάρα·
τὴν μὲν Πελασγός, τὴν δὲ καὶ πόλις διδοῖ,
οἰκεῖν λάτρων ἄτερθεν· εὐπετῆ τάδε.
μόνον φυλάξαι τάσδ' ἐπιστολὰς πατρός,
τὸ σωφρονεῖν τιμῶσα τοῦ βίου πλέον.

Χο. τἄλλ' εὐτυχοῖμεν πρὸς θεῶν Ὀλυμπίων·
ἐμῆς δ' ὀπώρας οὕνεκ' εὐθάρσει, πάτερ.
εἰ γάρ τι μὴ θεοῖς βεβούλευται νέον,
ἴχνος τὸ πρόσθεν οὐ διαστρέψω φρενός.

ἴτε μὰν ἄστυδ', ἄνακτας στρ. α
μάκαρας θεοὺς γανόωντες,
πολιούχους τε καὶ οἳ χεῦμ' Ἐρασίνου
περιναίουσιν παλαιόν.
ὑποδέξασθε δ', ὀπαδοί,
μέλος· αἶνος δὲ πόλιν τάνδε Πελασγῶν
ἐχέτω, μηδ' ἔτι Νείλου
προχοὰς σέβωμεν ὕμνοις,

ποταμοὺς δ' οἳ διὰ χώρας ἀντ. α
θελεμὸν πῶμα χέουσιν,
πολύτεκνοι, λιπαροῖς χεύμασι γαίας
τόδε μειλίσσοντες οὖδας.
ἐπίδοι δ' Ἄρτεμις ἁγνὰ
στόλον οἰκτιζομένα, μηδ' ὑπ' ἀνάγκας
τέλος ἔλθοι Κυθερείας·
Στύγιον πέλοι τόδ' ἆθλον.

1007 οὕνεκ' ἠρόθη Heath: οὑνὲκληρώθη M 1009 οἴκησις Robortello, Turnebus: οἰκήσεις M 1012 φυλάξαι M: φύλαξαι Victorius 1015 εὐθάρσει Valckenaer: εὖ θάρσει M 1018 ἄστυδ', ἄνακτας Tucker: ἀστυάνακτας M 1019 μάκαρας γρScurial.: μακρας M γανόωντες Pauw: γανάεντες M 1021 περιναίουσιν Marckscheffel (-ουσι Pauw): περιναίετε M 1022 ὑποδέξασθε δ' Pauw: ὑποδέξασθ' M 1023 μέλος Legrand: μένος M 1025 προχοὰς Robortello, Turnebus: πρὸσχοὰς M 1029 μειλίσσοντες Pauw: μελίσσοντες M 1032 τέλος Weil: γάμος M ἔλθοι Par. 2886, Ald.: ἔλθει M 1033 Στύγιον Stephanus: στύγειον M

ΑΡΓΕΙΟΙ

Κύπριδος δ' οὐκ ἀμελεῖν, θεσμὸς ὅδ' εὔφρων· στρ. β
δύναται γὰρ Διὸς ἄγχιστα σὺν Ἥραι,
τίεται δ' αἰολόμητις
θεὸς ἔργοις ἐπὶ σεμνοῖς.
μετάκοινοι δὲ φίλαι ματρὶ πάρεισιν
Πόθος ἆι τ' οὐδὲν ἄπαρνον
τελέθει θέλκτορι Πειθοῖ,
δέδοταί θ' Ἁρμονία μοῖρ' Ἀφροδίται
ψεδυραὶ τρίβοι τ' ἐρώτων.

φυγάδεσσιν δ' ἔτι ποινὰς κακά τ' ἄλγη ἀντ. β
πολέμους θ' αἱματόεντας προφοβοῦμαι·
τί ποτ' εὔπλοιαν ἔπραξαν
ταχυπομποῖσι διωγμοῖς;
ὅ τι τοι μόρσιμόν ἐστιν, τὸ γένοιτ' ἄν –
Διὸς οὐ παρβατός ἐστιν
μεγάλα φρὴν ἀπέρατος –
μετὰ πολλᾶν δὲ γάμων ἅδε τελευτὰ
προτερᾶν πέλοι γυναικῶν.

Χο. ὁ μέγας Ζεὺς ἀπαλέξαι στρ. γ
γάμον Αἰγυπτογενῆ μοι.
Αρ. τὸ μὲν ἂν βέλτατον εἴη –
Χο. σὺ δὲ θέλγοις ἂν ἄθελκτον.
Αρ. σὺ δέ γ' οὐκ οἶσθα τὸ μέλλον.

Χο. τί δὲ μέλλω φρένα Δίαν ἀντ. γ
καθορᾶν, ὄψιν ἄβυσσον;
Αρ. μέτριόν νυν ἔπος εὔχου.

1034 δ' Pauw: om. M    ἀμελεῖν Nauck: ἀμελεῖ M    1038 δὲ Par. 2886: δ' αἱ M    1039 ἆι Wellauer: om. M    1040 θέλκτορι Musgrave, Πειθοῖ Par. 2886: θεακτορι πιθοῖ M    1041 θ' West, Ἁρμονία Hermann, Ἀφροδίται Hartung: δ' ἁρμονίαν (-ίασ M[s]) ... ἀφροδίτας M    1042 ψεδυραὶ Scaliger: ψεδυρα (sscr. θ) M: ψευδὴς Σ    1043 φυγάδεσσιν ... ἔτι ποινὰς Burges: φυγάδες ... ἐπιπνοίαι M    1048 παρβατὸς Askew: παραβάτας M    1050 πολλᾶν Wilamowitz: πολλῶν M    1055 θέλγοις ἂν ἄθελκτον Stephanus: θέλγεις ἀνάθελκτον M

Χο. τίνα καιρόν με διδάσκεις;
Αρ. τὰ θεῶν μηδὲν ἀγάζειν.

Χο. Ζεὺς ἄναξ ἀποστεροί- στρ. δ
η γάμον δυσάνορα
δάϊον, ὅσπερ Ἰὼ
πημονᾶς ἐλύσατ' εὖ
χειρὶ παιωνίαι κατασχεθών,
εὐμενῆ βίαν κτίσας,

καὶ κράτος νέμοι γυναι- ἀντ. δ
ξίν. τὸ βέλτερον κακοῦ
καὶ τὸ δίμοιρον αἰνῶ,
καὶ δίκαι †δίκας† ἕπεσ-
θαι ξὺν εὐχαῖς ἐμαῖς, λυτηρίοις
μαχαναῖς θεοῦ πάρα.

1063 γάμον Robortello, Turnebus: γάμου M 1067 εὐμενῆ βίαν Valckenaer: εὐμενεῖ βία M 1070 τὸ Σ: τε M 1071 δίκαι Heath: δίκα M δίκας M: δίκαν Haupt: τύχας Burges 1073 μαχαναῖς Dindorf: μηχαναῖς M